5—8 lemma scripsit A in textu, breviatum repetivit (p. 54) L m^{e} omissis *ἐν ᾗ — Ἐφέσῳ*, sed v. ad 12 5 *σχολ* A *σχολαστι⌜κου⌝* L 6 *καὶ δισ ανθυπάτου* A ⌜*καὶ*⌝ *αν̊* (sic, non *δισ̊*) L 7 *ἐν ᾗ* A 9 *ἴλαθι* ex more suo A 12 in nova p. adnotavit L m^{s}: *ταυ⌜τα⌝ ἐν εφέσωι γέγραπτ⌜αι⌝ ἐν τῶι νάρθηκι του θεολόγου*, et J m^{e}: *εν εφεσω | προσθρόνον* A 13 *τῆσδ'*, non *τῆς δ'* A: sed illud falsum, nam *εὐγνωμοσύνη* non archangeli gratiam, sed gratum dedicantis animum significat apud Agath., cfr. A. Pl. XVI 41, 7 | *ὔμετέρην* (sic) A ‖ 15 Lemma scripsit praeter morem in m. interiore A, repetivit J m^{e} 16 *γαία* Hilberg; malim *γαίας τρόμοι* 17 *ἴχνοσ* A ‖ 18 lemma add. J m^{e} erasis verbis *εἰσ αὐ̊* quae A (in fine praecedentis v.) exaraverat ‖

39. *Εἰς τοὺς ποιμένας καὶ τοὺς ἀγ|γέλους.* A

Εἷς χορός, ἓν μέλος ἀνθρώποισι καὶ ἀγγελιώταις,
οὕνεκεν ἄνθρωπος καὶ θεὸς ἓν γέγονεν.

40. *Εἰς τὴν Χριστοῦ γέννησιν.* A

Οὐρανὸς ἡ φάτνη, καὶ οὐρανοῦ ἔπλετο μείζων,
οὕνεκεν ὅνπερ ἔδεκτο ἄναξ πέλεν οὐρανιώνων.

41. *Εἰς τοὺς μάγους.* A

Οὐκέτι δῶρ' ἀνάγουσι μάγοι πυρὶ ἠελίῳ τε·
ἠέλιον γὰρ ἔτευξε τόδε βρέφος, ὡς πυρὸς αὐγάς.

42. *Εἰς τὸ Βηθλεέμ.* A

Δέχνυσο, Βηθλεέμ, ὃν προέειπε προφήτης ἐσθλὸς
ἵξεσθαι λαῶν ἡγούμενον ἐκ σοῦ ἁπάντων.

43. *Εἰς τὴν Ῥαχήλ.* A

Τίπτε, Ῥαχήλ, γοόωσα πικρὸν κατὰ δάκρυον εἴβεις;
„Ὀλλυμένην δρόωσα γονὴν κατὰ δάκρυον εἴβω."

44. *Εἰς τὸν εὐαγγελισμόν.* A

Χαῖρε, κόρη χαρίεσσα, μακαρτάτη, ἄφθορε νύμφη·
υἷα θεοῦ λαγόνεσσιν ἄτερ πατρὸς ἔμβρυον ἕξεις.

45. *Εἰς τὸν ἀσπασμόν.* A

Ἔνδοθι γαστρὸς ἐὼν σκιρτήμασιν εἶδε προφήτης
σὸν γόνον ὡς θεός ἐστι, καὶ ἤνεσε πότνια μήτηρ.

---

1 εἰ^{τ}ς ποι^{ε}μ et αγγελ comp. A 2 malim rhythmi causa: *εἷς χορὸς ἀνθρώποισι καὶ ἓν μέλος ἀγγελιώταις* 3 *οὕνεκεν* (ut l. 6, saepius, cfr. praef. de spir.) A ‖ 6 fort. *πέλει*: cfr. ep. 38, 2 ‖ 8 *ἠελίω* A ‖ 10 εἰ^{τ}σ βηθλεέμ A 11 ⌊ἐσ⌋θλόσ P *ἀεθλόσ* (?) A^{ar} 12 *ἴζεσθαι* A, corr. Jac. ‖ 13 et 14 ραχηλ A 14 *γόωσα* A, corr. Jac. ‖ 16 εὐαγγελ comp. A ‖ 20 fort. *σκιρτήμασι δεῖξε* 21 ἐστι⌊κ⌋αὶ (κ in er. *ν*) P ‖

46. *Εἰς τὴν ὑπαντήν.* A

Πρεσβύτα, παῖδα δέχοιο, Ἀδὰμ προγενέστερον ὄντα,
ὅς σε βίου λύσειε, καὶ ἐς βίον ἄφθιτον ἄξει.

47. *Εἰς τὴν βάπτισιν.* A

Πατρὸς ἀπ' ἀθανάτοιο μέγα σθένος ἦλυθε πνεῦμα,
υἱὸς ἐπεὶ βαπτίζετ' Ἰορδάνου ἀμφὶ ῥέεθρα.

48. *Εἰς τὴν μεταμόρφωσιν.* A

Ἀδὰμ ἦν ζο . . .

49. *Εἰς τὸν Λάζαρον.* A

Χριστὸς ἔφη· πρόμολ' ὧδε, καὶ ἔλλιπε Λάζαρος ᾅδην,
αὐαλέῳ μυκτῆρι παλίνσοον ἄσθμα κομίζων.

50. *Εἰς τὸν αὐτὸν ἐν Ἐφέσῳ.* A

Ψυχὴν αὐτὸς ἔτευξε, δέμας μόρφωσεν ὁ αὐτός·
Λάζαρον ἐκ νεκύων ἐς φάος αὐτὸς ἄγει.

51. *Εἰς τὸν αὐτόν.* A

Τέτρατον ἦμαρ ἔην, καὶ Λάζαρος ἔγρετο τύμβου.

---

1 ὑπαῖ (*ὑπαντήν* = *ὑπαπαντήν*) A 2 *πρέσβυ σὺ*? | *ἀδαμ* nullo acc. A 3 *λύσει τε* Jac. ‖ 5 *μέγα◡σθενὲσ* P: hyphen et *è* in pristino *o* C, *μέγα σθένοσ* A^{ar} quod ego reduxi (*μεγασθενὲς* D. cum Jac.): cfr. Greg. Theol. carm. lib. I sect. I 3, 7 *πατρόθεν ἐρχόμενον θεῖον μένος* | *ἦλθε* A *ἦλυθε* (*υ* supra scripto) C ‖ 7 *μεταμορ*^{φ} comp. A 8 *ἀδαμ ἦν* (sic, non *ἠῶ*) *ζο* A, qui hunc versum imperfectum, deinde uniùs v. spatium reliquit; *ζο* noli corrupt. putare ex *φο*⟨*ρέσας*⟩ cl. Cosm. can. V (*εἰς τὴν μεταμόρφωσιν*) 29 sq. (Anth. Gr. carm. christ. ed. Christ et Paranikas p. 177): *ὅλον τὸν Ἀδὰμ φορέσας κτλ.*; immo *ζόφος, ζοφερός*, simile aliquid latere opinor ‖ 10 *πρόμολ ὧδε* A *πρόμολ' ὧδε* P^{pc} | *ἄιδην* A 11 *αὐαλέωι*: *υ* scriptum in eraso *ν*, et ras. est supra alterum *α*: *ἀνὰλέωι* A^{ar}; ceterum cfr. Nonni Dionys. 25, 530 *ἀζαλέῳ μυκτῆρι* | *πάλιν σόον* Jac.; cfr. *παλίρροον ἄσθμα* Tryph. 76 et *παλίμπνοον ἄσθμα* Nonn. D. 37, 295 ‖ 13 *ὁ αὐτοσ* A ‖ 16 versum esse Gregorii Theol. (cfr. Migne Patrol. 37 p. 494, c. 23, 9) editores adhuc fugit | *ἦμαρ* A | tribus de Lazaro epigr. 49—51 adpictum est signum, de quo saepius obvio v. ad 11, 3 et praef. ‖

52. *Εἰς τὰ Βαΐα.* At. J

P 56 *Χαῖρε, Σιὼν θύγατερ, καὶ δέρκεο Χριστὸν ἄνακτα*
πώλῳ ἐφεζόμενον, καὶ ἐς πάθος αἶψα κιόντα.

53. *Εἰς τὸ Πάσχα.* A

Ἀμνὸν ἔπαυσε νόμου καὶ ἄμβροτον ὤπασε θῦμα
Χριστός, ἐὼν ἱερεύς, αὐτὸς ἐὼν θυσίη.

54. *Εἰς τὴν σταύρωσιν.* A

Ὦ πάθος, ὦ σταυρός, παθέων ἐλατήριον αἷμα,
πλῦνον ἐμῆς ψυχῆς πᾶσαν ἀτασθαλίην.

55. ⟨*Εἰς τὸν Ἰωάννην.*⟩

Παρθένου υἱὸν ἔφη τὸν παρθένον, ἄλλον ἑαυτόν·
ἵλαθι, τῆς καθαρῆς δέσποτα παρθενίης.

56. *Εἰς τὴν ἀνάστασιν.* A

Χριστὸς ἐὼν θεὸς εἶλε νέκυς ἐξ ᾅδου πάντας·
μοῦνον δὲ βροτολοιγὸν ἀκήριον ἔλλιπεν Ἅιδην.

57. *Εἰς τὸν ἀμνὸν τοῦ θεοῦ.* A

Ψυχῆς ἐν φλιῇσιν ἐμῆς σωτήριον αἷμα
ἀμνοῦ· ὀλοθρεύων, φεῦγε, μὴ ἐγγὺς ἴθι.

58. *Εἰς τὸν πόκον Γεδεών.* A

Εἷς πόκος ὄμβρον ἔχει, λεκάνῃ δρόσον ὤπασεν αὐτός·
ἄβροχος αὐτὸς ὅδε· κρύπτε νόῳ κρύφια.

---

1 Lemma scripsit A p. 55 in lin. ultima, repetivit J in nova p. m^{e} addens haec: *ἥτουν τὴν*|*βαϊοφόρ^{o}ω* (i. e. *βαϊοφόρον*: deletur litt. ω puncto supra posito) 3 *ἐφεζόμενόν τε* Jac. | *καὶ πρὸς*? ‖ 5 malim *νόμοιο* ‖ 8 *στρος παθῶν* A *σταυρός, παθέων τ'* Jac.; fort. *σταύρωμα, παθῶν* ‖ 10 *εἷς αὐτόν* perperam A, *εἰς τὴν αὐτήν* Boiss., *εἰς τὸν σωτῆρα* Jac., *εἰς τὸν Ἰωάννην* scripsi | 11 *υἱὸς* Jac., sed cfr. Ioann. XIX 26 sq. ‖ 14 *εἶλκε*? | *ἐξάδου* A | *ἅπαντας* Jac. 15 *ελλιπὲν ἄιδην* (sic) A ‖ 21 *αὐτὸσ· ὥδε* A, corr. Jac.; an scrib. *αὐτὸς ὕδει*? ‖

59. *Εἰς τὸν Μωσῆ καὶ εἰς τὴν θυγατέρα Φαραώ.* A

Αἰγυπτίη κρύφιόν τε βρέφος καὶ ἐγγύθεν ὕδωρ·
ἃ προτυποῖ μούνοις εὐσεβέεσσι λόγοις.

60. *Εἰς τὸν αὐτόν, ὅτε τὰς παλάμας ἐξέτεινεν | τροπούμενος τὸν Ἀμαλήκ.* At

Σταυροφανῶς τανύεις παλάμας τίνος εἵνεκα, Μωσῆ;
τῷδε τύπῳ Ἀμαλὴκ ὄλλυται ἀμφότερος.

61. *Εἰς τὸν αὐτόν.* A

Ῥύεο σὴν ἐθνικὴν νύμφην παρὰ ὕδασι, Μωσῆ,
νυμφίου ἀψευδοῦς οὕνεκέν ἐσσι τύπος.

62. *Εἰς τὴν κιβωτόν, ὅτε τὸν | Ἰορδάνην ἐπέρασεν.* A

Λάρνακι χρυσείῃ ῥόος εἵκαθεν· ἵλαθι, Χριστέ,
σὸς τύπος ἡ λάρναξ τῇδε λοεσσομένου.

63. ⟨*Εἰς τὴν Ἄγαρ.*⟩

Ἐξ ἐθνῶν καὶ Ἄγαρ· τί δὲ ἄγγελος; ἢ τί τὸ ὕδωρ;
ἐξ ἐθνῶν καὶ ἐγώ· τοὔνεκεν οἶδα τάδε.

64. *Εἰς τοὺς ἑβδομήκοντα φοίνικας καὶ τὰς δώδεκα πηγάς.* A

Ἑπτάκι τοὺς δέκα φοίνικας, δυοκαίδεκα πηγὰς
Χριστοῦ τοσσατίων ἴσθι τύπους ἑτάρων.

---

1 μωσῆ A *Μωσῆν* Jac. 3 *νόοις* et *λόγον* Boisson. pro *λόγοις* ‖ 4—5 lemma in textu scripsit A, brevius scriptum erat in m^{e} quod nunc erasum est: *ειτ αυτ* 6 *Μωσῆ* Jac.; *μωσ̈ηῖ* P: *σ* corr. ex *ν* cuius puncta ex more superscripta etiam nunc extant ‖ 9 *παρα ὕδασι* A | *μωσηῖ* A *Μωσῆς* Boiss. 10 *οὕνεκέν ἐσσὶ* P ‖ 11 *εἶτ κιβωτὸν* A 12 *χρυσείη* A 13 *λοεσσόμενον* A, corr. Jac. ‖ 14 lemma add. Boiss.; om. A, deest claus. post 62, 2; notam init. ante *ἐξ* (15) add. L 15 *άγαρ* A | malim *τί δ' ὅδ'* (*τί δε* A) *ἄγγελος* et *τόδ' ὕδωρ* 16 *οἶδε*$^{\alpha}$* P: *α* C^{s}, *οἶδεν* A^{ar} ‖ 17 lemma nec bis exaratum nec prave praecedenti, sed suo carmini adscriptum est, cfr. ad 1, 2—5 | *ō φοίνι⌜κασ⌝* (cfr. tab. comp.) et *ῑβ πηγ⌜ασ⌝* A 18 *ἑπτάκι** P *ἑπτάκισ* A^{ar} ‖

65. *Εἰς τὸν Ἀβραάμ.* A

Ἀβραὰμ υἱὸν ἄγει θυσίην θεῷ· ἵλαθι, ποίην
νοῦς ὁράᾳ θυσίην, ἧς τόδε γράμμα τύπος.

66. *Εἰς τὸν Μελχισεδὲκ διδοῦντα τῷ Ἀβρα|ὰμ οἶνον καὶ ἄρτους.* A

Μελχισεδὲκ βασιλεῦ, ἱερεῦ, ἄρτους τε καὶ οἶνον
ὡς τίς ἔχων παρέχεις; ὡς τύπος ἀτρεκίης.

67. *Εἰς τὸν Ἀβραάμ, ὅτε ὑπεδέξατο | τὸν θεόν.* A

Μορφὴν ἐνθάδε μοῦνον ἔχει θεός· ὕστερον αὖτε
P 57 *ἐς φύσιν ἀτρεκέως ἦλυθεν ἀνδρομέην.*

11 68. *Εἰς τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ, ὅτε αὐτὸν ηὐλόγησεν.* At

Πνοιὴν μὲν διὰ πνεῦμα, δέρας δὲ λάχον διὰ γράμμα·
εὐφραίνει πατέρα νοῦς θεὸν εἰσορόων.

69. *Εἰς τὴν Ῥεβέκκαν.* A

15 *Νυμφίε μουνογενές, νύμφη ἐθνική σε φιλοῦσα*
κάτθορεν ἐξ ὕψους σώματος οὐ καθαροῦ.

70. *Εἰς τὴν αὐτήν.* A

Τηλόθεν οὐχ ὑδάτων μνηστεύετο πότνα Ῥεβέκκα,
νύμφης ἐξ ἐθνῶν οὕνεκέν ἐστι τύπος.

---

2 ἀβραὰμ C ἀβρααμ A^{ac} (ἀβραάμ A in lemmate huius ep., ἀβραὰμ ex ἀβρ. corr. l. 8 C): formam spondiacam Ἀβρὰμ qua Nonnus utitur huc inferre nolui | θω̄ (= θεῶ) ἵλαθι A ‖ 4 διδοῦν $\overset{ω}{τ}$ A 5 $\overset{τ}{αρ}$ A: quod et ἄρτον et ἄρτους (Boiss.) significare potest 6 μελχισεδὲκ: ᾽ C 7 τίς: ᾽ C | ἐὼν Jac. ‖ 8 ὑπεδέξ$\overset{τ}{α}$ A 9 μούνην P (᾽ C eraso accentu pristino), μοῦνον Jac. ‖ 11 * ἰσαακ P (ante ι erasa est litt. ε, εἰσαὰκ A^{ar}) | ἰακὼβ: β in ras. C | αὐ ηὐλογησε¯ A 13 πρ̄α comp. pro πατέρα quod num recte se habeat vid. dubium ‖ 15 σε ἰδοῦσα (cl. Gen. 24, 64) Chardon, malim σ᾽ ἐσιδοῦσα 16 ἐξύψουσ A, frustra ἐξ ὑβοῦ tentares ‖ 18 οὐχυδάτων (cfr. ad 4, 15) A 19 οὕνεκεν ἐστὶ A ‖

71. *Εἰς τὴν Σωμανίτιν.* A

Εὐχὴ Ἐλισσαίου, Σωμανίτι, δὶς πόρεν υἱόν,
πρῶτα μὲν ἐκ γαστρός, δεύτερα δ' ἐκ νεκύων.

72. *Εἰς τὴν μηλωτὴν Ἠλίου.* A

Τοῦτο δέρας προλέγει ἀμνὸν θεοῦ, εἵνεκα πάντων
ἀνθρώπων ζωῆς τῇδε λοεσσόμενον.

73. *Εἰς τὸν Δαβὶδ χριόμενον.* A

Ἐν νῷ ἔχων πέφρικα, πατὴρ τίνος ἔκλυε Δαβὶδ
οὗτος, ὃν εἰσοράᾳς ἐνθάδε χριόμενον.

74. *Εἰς τὸν τυφλόν.* A

Οὔνομα τῇ πηγῇ ἐσταλμένος· ἀλλὰ τίς ἐκ τοῦ
ἔσταλται νοέεις, ὅφρα τέλεια βλέποις;

75. *Εἰς τὴν Σαμαρεῖτιν.* A

Οὐ τύπος, ἀλλὰ θεὸς καὶ νυμφίος ἐνθάδε νύμφην
σώζει, τὴν ἐθνικήν, ὕδατος ἐγγὺς ἰδών.

76. *Εἰς τὸν γάμον.* A

Τεῦξε μὲν ἀτρεκέως οἶνον θεός· ὅσσα δὲ κρυπτὰ
θαύματος, εἰ Χριστοῦ πνεῦμά σ' ἔχει, νοέεις.

77. *Εἰς τὴν χήραν τὴν τὸν Ἠλίαν θρέψασαν.* At. Jm

Βλύζει ἐλαιηρὴ κάλπις καὶ κίστη ἀλεύρου,
ἔμπεδον ἡ χήρη οὕνεκα πίστιν ἔχει.

---

1 σωμανῖ. A 2 Σωμανίδι Heck. ‖ 4 μηλῶ ἡλίοῦ (spir. asper geminatus et οῦ scriptum supra ι) P 5 θῦ (= θεοῦ) εἵνεκα A 6 τῆδε A ‖ 7 δᾶδ (ut l. 8) χριομ̣ comp. A ‖ 11 τῇ πηγῆι A, frustra τῆς πηγῆς vel τῇ πηγῇ 'στ' ἐσταλ. coicias ‖ 13 σαμαρείτι A 15 σώζει A: hic omissa, saepe addita litt. ι post ω in P ‖ 18 πνεῦμα ἔχει A, corr. Hecker; πνεῦμα δέχει ego coni. ‖ 19 Lemma in textu scripsit A, repet. J m^{e} | ἡλίαν A ηλι⌜αν⌝ J | θρέψασα A θρεψ^{α} J 20 λαι⌊ψ⌋ηρὴ C λαιχηρὴ A^{ar} (aberrans ad χήρη in v. seq.), ἐλαιηρὴ Boiss. | κάλπισ P sed καλπὶσ A^{ar} 21 χήρη· A; an χήρης scrib. deleta interp. post ἀλεύρου? ‖

78. *Εἰς Πέτρον τὸν ἀπόστολον.* A

Πάντων ἀρχιερεὺς Πέτρος θεοῦ ἀρχιερήων,
ὃς θεοῦ ἐκ φωνῆς ἔλλαχε τοῦτο γέρας.

79. *Εἰς Παῦλον τὸν ἀπόστολον.* A

Παῦλος ἐπεὶ θεῖον σέλας οὐρανοῦ ἔδρακεν ἄντην,
φωτὸς ἀπειρεσίου γαῖαν ἔπλησεν ὅλην.

80. *Εἰς Ἰωάννην τὸν ἀπόστολον* A

Ἀρχιερεὺς Ἐφέσοιο θεηγόρος ἐκ θεοῦ εἶπεν
πρῶτος Ἰωάννης, ὡς θεὸς ἦν ὁ λόγος.

81. *Εἰς τὸν αὐτόν.* A

Καὶ λαλέοντος ἄκουσε λόγου καὶ πέφραδεν αὐτὸς
πρῶτος Ἰωάννης, ὡς θεὸς ἦν ὁ λόγος.

82. *Εἰς τὸν αὐτὸν ἀπόστολον | Ἰωάννην.* A. L

Οὐρανίης σοφίης θεοτερπὲς δῶμα κιχήσας
εἶπεν Ἰωάννης, ὡς θεὸς ἦν ὁ λόγος.

P 58 83. *Εἰς τὸν Ματθαῖον.* A

Γράψε θεοῦ σαρκώσιος ἔξοχα θαύματα πάντα
Ματθαῖος σελίδεσσιν, ἐπεὶ λίπε δῶμα τελώνου.

84. *Εἰς τὸν Λουκᾶν.* A

Ἀθανάτου βιότοιο τελεσφόρα ἔργματα Χριστοῦ
πυκτίου ἐν λαγόνεσσί σαφῶς ἐνέπασσέ γε Λουκᾶς.

---

1 το⁻ ἀποˡστολονˀ A, cfr. tab. comp. ‖ 4 παυl pro παῦλον A 5 οὐνου A ‖ 7 ἰω̄ et 8 ἐκ θῦ comp. A 9 ἦν: lenem et ν Ppc ‖ 13 αποστοl ϊωάννην add. L 14 ὀυνῑησ A | δῶμα A, δόγμα Jac.; fort. θεοτερπέα δῶρα (eiusdem auctoris cuius est ep. 88 videntur versus illi apud Band. I 31: *ἀγγελικῆς σοφίης ἀμαρύγματα πολλὰ κιχήσας | ἀνθρώποις ἀνέφηνας ἰδεῖν νοοσύνθετον ἄστρον*) ‖ 17 σ∗αρκώσιοσ P σεαρκ. A^{ar} (aberrans ad *σελίδεσσιν* in versu seq.) | *Θαύματα γράψε* (initio v.) proponit Jac. ‖ 20 ἀθανάτοι A, corr. Jac. 21 ἐνέπασσεν ὁ Boiss. ‖

85. *Εἰς τὸν Μάρκον.* A

Οὐ κατ' ἐπωνυμίην Αἰγύπτιον ἔλλαχε λαὸν
ὄρφνη, ἐπεὶ φωνῆς Μάρκου ἔδεκτο φάος.

86. *Εἰς τὸν ἅγιον Βασίλειον.* A

Παρθενίην Βασίλειος Ἰωάννου σοφίην τε
ἔλλαχεν, ἶσα λαχὼν καὶ τάδε Γρηγορίῳ.

87. *Εἰς τὸν ἅγιον Πολύκαρπον.* A

Οἰκτίρμων Πολύκαρπος, ὃ καὶ θρόνον ἀρχιερῆος
ἔσχε καὶ ἀτρεκέως μαρτυρίης στεφάνους.

88. *Εἰς τὸν ἅγιον Διονύσιον.* A

Οὐρανίων θιάσων ἱεραρχικὰ τάγματα μέλψας,
μορφοφανῶν τε τύπων κρύφιον νόον εἰς φάος ἕλκων,
ζωοσόφων λογίων θεοτερπέα πυρσὸν ἀνάπτεις.

89. *Εἰς τὸν ἅγιον Νικόλαον.* A

Νικόλεων Πολύκαρπος ἔχει χερός, οὕνεκεν ἄμφω
εἰς ἔλεον παλάμας ἔσχον ἑτοιμοτάτας.

---

2 *κατεπωνυμίην* A in *κατ' ἐπ' ὠνυμίην* dirimit C (cfr. praef. de correctoris orthographicis mutationibus) ‖ 4 *βασιλ* A 6 *γρηγορίωι* A in *γρηγόριοσ* mut. C (accentu add. et *οσ* scripto supra *ωι*) ‖ 7 *πολύκαρ*$^{\pi}$ A 8 ὁ A ὃ (= ὃς) Boiss. ‖ 10 post versus ad 22, 14 laudatos (*εἰς τὸν μακάριον Διονύσιον περὶ τῆς οὐρανίας ἱεραρχίας*) exhibet ep. 88 cod. Flor. apud Band. I 31 (plut. V c. 11) 11 *ἱεράρχια* A et cod. Fl. in Montefalc. D. It. p. 364; *ἱεράρχικα* (sic) Flor. V 11 13 *ζώοσόφων* A; cfr. versus in eundem Dionys. apud Band. l. l.: *ζωοτόκων λογίων προλιπὼν θεοφάντορας ὕμνους*; nec tamen *ζωοτόκων* restituendum erit in epigr. Pal., si quidem legitur apud Band. I 33 (*εἰς τὸ περὶ θείων ὀνομ.*): *ζωοσόφοις λογίοις κελαδῶν θεοφ. ὕμνους* | *ἀνάπτει* Flor. V 11 ‖ 14 *νικοῖ* comp. A 15 *σχεδόν* A, scripsi *χερὸς*: picti sunt alter alterum manu tenens ‖

90. ΣΩΦΡΟΝΊΟΥ ΠΑΤΡΙΆΡΧΟΥ ΙΕΡΟΣΟΛΎΜΩΝ. L

Εἰς Κῦρον καὶ Ἰωάννην. A

Κύρῳ ἀκεστορίης πανυπέρτατα μέτρα λαχόντι
καὐτῷ Ἰωάννῃ, μάρτυσι θεσπεσίοις,
Σωφρόνιος, βλεφάρων ψυχαλγέα νοῦσον ἀλύξας,
βαιὸν ἀμειβόμενος τήνδ' ἀνέθηκε βίβλον.

91. *Εἰς Ἰουστινιανὸν τὸν βασιλέα ἐν Ἐφέσῳ.* At

Ἰουστινιανὸν καὶ ἠγαθέην Θεοδώρην
στέψεν Ἰωάννης Χριστοῦ ἐφημοσύναις.

92. ⟨ΓΡΗΓΟΡΊΟΥ ΤΟΥ̃ ΘΕΟΛΌΓΟΥ.⟩

Ἐν Καισαρείᾳ εἰς τὸν ναὸν | τοῦ ἁγίου Βασιλείου. A

Ἦν ὅτε Χριστὸς ἴαυεν ἐφ' ὁλκάδος ἔμφυτον ὕπνον,
τετρήχει δὲ θάλασσα κυδοιμοτόκοισιν ἀήταις,
δείματί τε πλωτῆρες ἀνίαχον· „Ἔγρεο, σῶτερ·
ὀλλυμένοις ἐπάμυνον.“ ἄναξ δὲ κέλευεν ἀναστὰς
ἀτρεμέειν ἀνέμους καὶ κύματα, καὶ πέλεν οὕτως·
θαύματι δὲ φράζοντο θεοῦ φύσιν οἱ παρεόντες.

93. *Εἰς τὸν αὐτὸν ναόν.* A

Ζωογόνων ἀρετῶν τετρακτύος εἰκόνα λεύσσων

1—2 titulus praecedit, sequitur nomen auctoris ab L add. 1 *πατρι|αρ̣χ ἱεροσολύμων* L 2 *κῦρον* (non *κύρον*) A 3 *λαχόντ⟨ι⟩* C *λαχόντα* A^{ar} 4 *καυ τῶι* (sic) A *καὶ τῷ* Boiss. | *ἰωάννη* A 6 *τὴν δ'* A ‖ 7 *ὀυστινιανὸν τὸν βασιl* A 8 fort. *Ἰουστινιανόν τε* ‖ 10 Gregorii Naz. carmen esse vidit Jac.; cfr. Migne Patrol. 37, 506 sq. 11 *βασιl* A | lemmati add. L: *ηγουν εισ την μεγάλ⟨η⟩|ἐκκλησίαν* 12 *ἐπολκάδοσ* A *ἐφ' ὁλκάδος* Patrol. Gr. 13 *κυδοιμοτόκοισιν* cum acc. eraso supra alterum *o* A 14 *ἀνίσχον* A *ἀνίαχον* (*α* supra *σ* scripto et *σ* expuncto) C 15 *δ' ἐκέλευεν* Greg. ed., quod fort. praestat 17 *δ' ἐφράζοντο* Greg. ed. | *θῡ* (= *θεοῦ*) A ‖ 19 *ζωογόνων* P *ξώογόνων* A^{ar} (cfr. ad 23, 13) | *τετρακτύοσ*: *ρα* scr. in ras. P (*ακ*? A^{ar}) | *λεύσων* P^{pc} *λύσων*? A^{ac}

σεῦε νόον πρὸς μόχθον ἑκούσιον· εὐσεβίης γὰρ
ἱδρῶτες δεδάασιν ἀγήραον ἐς βίον ἕλκειν.

94. *Εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου.* At

Νεύμασι θεσπεσίοιο μετάρσιοι ἦλυθον ἄρδην
P 59 ἐς δόμον ἀχράντοιο ἀμωμήτοιο γυναικὸς
6 κεκλόμενοι μαθηταὶ ἀλλήλοισιν αἰγλήεντες,
οἱ μὲν ἀπ' ἀντολίης, οἱ δ' ἑσπερίοιο γαίης,
ἄλλοι μεσημβρίης, ἕτεροι βαῖνον δ' ἀπ' ἀρκτῴων, 5
διζήμενοι κηδεῦσαι σῶμα τὸ σωσικόσμοιο.

95. *Ἐν Ἐφέσῳ.* A

Σοί, μάκαρ, ἐκ σέο δῶκα τάπερ πόρες ἄμμιν ἄρηϊ.

96. *Εἰς σκῆπτρον.* At

Τοῦτο γέρας λάχεν ἐσθλὸς Ἀμάντιος, ὡς βασιλῆι
πιστὸς ἐών, Χριστὸν δὲ θεουδείῃσιν ἰαίνων.

97. *Ἐν τῇ Μελίτῃ.* A

Νηὸς ἐγὼ κύδιστος Ἰουστίνοιο ἄνακτος,
καί μ' ὕπατος Θεόδωρος, ὁ καρτερός, ὁ τρὶς ὕπαρχος,
ἄνθετο καὶ βασιλῆι καὶ υἱέι παμβασιλῆος,
Ἰουστινιανῷ, στρατιῆς ἡγήτορι πάσης.

---

1 *ἑκούσιον* P (asper add. alio atram.) 2 *ἱδρῶτες* ex more suo A ‖ 3 titulum scripsit A in textu, repetivit bis L: primo p. 58 m^{e}, deinde p. 59 m^{e} | *τῆς ὑπεραγίας θκου* A *της θεοτόκου* L 4 *θεσπεσίοις* apogr. Par.; an *θεσπεσίοισι*? 6 fort. *κυκλούμενοι*: v. Anth. carm. chr. p. 122 *γ* 9 | *ἀγγέλοις σὺν* Boiss. 7 *δ' ἑσπερίοισιν* A, corr. Boiss. 9 *σωσισκόμοιο* A, em. C (expuncto *σ* ante *κ* et alio *σ* ante *μ* supra inserto) ‖ 14 *θεου_δίησιν* P *θεοῦ δίησιν* A^{ar}, corr. Jac. ‖ 15 *ἐν τῇ μελέτῃ* (sic) A *Μελίτῃ* tamquam lectionem cod. Jac. D.: de regione *Μελ.* urbis Constant. nihil inveni, an latet *ἐν τοῖς Μελτιάδου* (cfr. Ducang. CP. Chr. IV p. 120 XVI)? 17 *καὶ μ'* A | *τρισῦπαρχος* P (″ A: eadem signa, scil. manifestiora add. C) ‖

98. *Ἐν τῷ αὐτῷ τόπῳ.* A

Ἔργον ὁρᾷς περίπυστον Ἰουστίνου βασιλῆος
Ἰουστινιανοῦ τε, μεγασθενέος στρατιάρχου,
λαμπόμενον στεροπῇσιν ἀμετρήτοιο μετάλλου·
τοῦτο κάμεν Θεόδωρος ἀοίδιμος, ὃς πόλιν ἄρας
τὸ τρίτον ἀμφιβέβηκεν ἔχων ὑπατηΐδα τιμήν.

99. *Ἐν τῷ κίονι τοῦ ὁσίου Δανιὴλ ἐν τῷ Ἀνάπλῳ.* A t

Μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἵσταται ἀνήρ,
πάντοθεν ὀρνυμένους οὐ τρομέων ἀνέμους . . .
ἴχνια ῥιζώσας κίονι διχθαδίῳ·
λιμῷ δ' ἀμβροσίᾳ τρέφεται καὶ ἀπήμονι δίψῃ,
υἱέα κηρύσσων μητρὸς ἀπειρογάμου.

100. *Εἰς Νεῖλον μοναχόν, τὸν μέγαν ἐν | ἀσκηταῖς.* A. L

Νείλου μὲν ποταμοῖο ῥόος χθόνα οἷδε ποτίζειν,
Νείλου δ' αὖ μοναχοῖο λόγος φρένας οἶδεν ἰαίνειν.

101. ΜΕΝΑΝΔΡΟΥ ΠΡΟΤΙΚΤΟΡΟΣ. A t. L

Εἰς Πέρσην μάγον, | γενόμενον χριστιανὸν καὶ μαρτυρήσαντα. A t

Ἦν πάρος ἐν Πέρσῃσιν ἐγὼ μάγος Ἰσβοζήτης,
εἰς ὁλοὴν ἀπάτην ἐλπίδας ἐκκρεμάσας·

---

1 *ἐν τῶ αὖ τόπ⌊ω⌋* P (ω in ras. C) 5 *πόλἴν ⌊ἄ⌋ρ⌊α⌋σ* C *πολινῆρησ* (?) A^{ar}, *ὃς πολιν ἄιρασ* (sic) C m^{e} ‖ 7 *δανιηλ* et *ἀνάπλω* A | L adnotavit haec m^{e}: *εν τωι στυλωι|του οσίου δανιηλ·* 9 *ὀρνυμένουσ* C *ὀρνύμενοσ* A^{ar} 9—10 inter duos pentametros unius versus spatium rel. A 10 *διχθάδια* Boiss., an *διχθαδίως*? ‖ 13 *εισ νειλο¯ μονᾶ* A *τον μέγαν ἐν|ασκηταῖσ* (sic) L 14—15 *εἶδε* et *εἶδεν* apud Mign. Patr. 79, 33; praecedunt hic versus: *Νεῖλος μὲν ἄρδει τῆς ἀνύδρου τὰς νάπας, Νεῖλος δὲ πιστῶν ἐκπιαίνει καρδίας* 15 fort. *οἶδε διαίνειν*: cfr. versus de eodem Nilo (apud Dübn.): *Αἴγυπτον ἄρδει Νεῖλος, ἀλλὰ καὶ κτίσιν | λόγῳ κατάρδει καὶ θανὼν Νεῖλος μέγας* ‖ 16 nomen auctoris dedit A in t., repet. L m^{e} 17 *γενόμενον* (sic) *χριστινιανὸν* A 19 *Ἰσαοζίτης* Men. Prot. fr. 35 a (D.)

εὖτε δὲ πυρσὸς ἔδαπτεν ἐμὴν πόλιν, ἦλθον ἀρῆξαι·
ἦλθε δὲ καὶ Χριστοῦ πανσθενέος θεράπων.
κείνῳ δ' ἐσβέσθη δύναμις πυρός· ἀλλὰ καὶ ἔμπης
νικηθεὶς νίκην ἤνυσα θειοτέρην.

102. *Εἰς τὸν σωτῆρα* A
καὶ κύριον ἡμῶν Ἰησοῦν | Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ. L

Ὦ πάντων ἐπέκεινα· τί γὰρ πλέον ἄλλο σε μέλψω;
πῶς σέ, τὸν ἐν πάντεσσιν ὑπείροχον ἐξονομήνω;
πῶς δὲ λόγῳ μέλψω σέ, τὸν οὐδὲ λόγῳ περιληπτόν;

103. *Εἰς ὑπέρθυρον οἴκου ἐν Κυ|ζίκῳ,* A
σωθέντος ἀπὸ πυρός. L

Μῶμε μιαιφόνε, σός σε κατέκτανε πικρὸς ὀιστός·
ῥύσατο γὰρ μανίης με τεῆς θεός, ὄλβιον οἶκον.

104. *Εἰς τὴν θήκην τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος*
Ἀνακίου καὶ Ἀλεξάνδρου. At

Μάρτυρος Ἀνακίοιο Ἀλεξάνδρου θ' ἱερῆος
ἐνθάδε σώματα κεῖται, ἅπερ χρόνος ὄλβιος ηὗρε.

105. *Εἰς Εὐδοκίαν τὴν γυναῖκα Θεοδοσίου βασιλέως.* At

Ἡ μὲν σοφὴ δέσποινα τῆς οἰκουμένης,
ὑπ' εὐσεβοῦς ἔρωτος ἠρεθισμένη,

---

3 *δύναμις φλογός* Men. fr. ‖ 5 *σ̄ρ̄α* comp. pro *σωτῆρα* A 6 verba *καὶ — τ̄ θ̄ῡ* add. L | *ημῶν ῑν̄* (= *Ἰησοῦν*) L 8 *ἐξονομήνω* A *ὑμνοποιεύσω* Olympiod. ad Plat. Gorg. in annal. phil. a. 1848 p. 128 et 532 (cfr. Sternb. mel. 130 sq.) 9 *λόγω* (pr. l.), *σε* et *οὐδε* A | *πῶς σε λόγῳ μέλψαιμι* (p. 128 et *τίς δὲ λόγος μέλψει σε* p. 532) *τὸν οὐδὲ νόῳ περιληπτόν* Olympiod. ‖ 11 verba *σωθεντ̄ ἀπὸ π.* add. L 13 *μανίησ ⌊με⌋* P *μαν. τε* A^{ar} ‖ 14 *τῶ̄* pro *τῶν* A | *μ̄α̃* (= *μάρτυρος*) A 15 *ἀνακι⌜ου⌝ καὶ ἀλεξ* A 17 *τάπερ* A, corr. Jac.; cfr. tamen Dübn. ad XV 31 ‖ 18 titulum scripsit A in textu, repet. L m^{e} | *θεοδοσίου βασιl* At, *θ. τοῦ μικρου* L m^{e} 20 *ἐρωτοσ* ex *ἑρωτοσ* in scribendo corr. A

πάρεστι δούλη· προσκυνεῖ δ' ἑνὸς τάφον
ἣ πᾶσιν ἀνθρώποισι προσκυνουμένη.
ὁ γὰρ δεδωκὼς τὸν θρόνον καὶ τὸν γάμον
τέθνηκεν ὡς ἄνθρωπος, ἀλλὰ ζῇ θεός.
κάτω μὲν ἠνθρώπιζεν· ἦν δ' ὡς ἦν ἄνω.

106. Ἐν τῷ χρυσοτρικλίνῳ Μαζα|ρινοῦ. A

Ἔλαμψεν ἀκτὶς τῆς ἀληθείας πάλιν,
καὶ τὰς κόρας ἤμβλυνε τῶν ψευδηγόρων·
ηὔξησεν εὐσέβεια, πέπτωκε πλάνη,
καὶ πίστις ἀνθεῖ καὶ πλατύνεται χάρις.
ἰδοὺ γὰρ αὖθις Χριστὸς εἰκονισμένος
λάμπει πρὸς ὕψος τῆς καθέδρας τοῦ κράτους,
καὶ τὰς σκοτεινὰς αἱρέσεις ἀνατρέπει.
τῆς εἰσόδου δ' ὕπερθεν ὡς θεία πύλη
στηλογραφεῖται καὶ φύλαξ ἡ παρθένος·
ἄναξ δὲ καὶ πρόεδρος ὡς πλανοτρόποι
σὺν τοῖς συνεργοῖς ἱστοροῦνται πλησίον·
κύκλῳ δὲ παντὸς οἷα φρουροὶ τοῦ δόμου
νόες, μαθηταί, μάρτυρες, θυηπόλοι·
ὅθεν καλοῦμεν χριστοτρίκλινον νέον
τὸν πρὶν λαχόντα κλήσεως χρυσωνύμου,
P 61 ὡς τὸν θρόνον ἔχοντα Χριστοῦ κυρίου

---

5 versus videtur additicius ‖ 6 ἐν τῶ χρυσοτρικλίνω: μαζαρινοῦ: (hac interpunct.) A, του μεγάλου παλατιου | κύκλ⌜ω⌝ της οροφῆς add. L 7 ἀληθείασ (non ἀληθείης) A 9 εὐσέβεια A (fallitur Dübn.) 13 αἱρέσεισ et 14 θεῖα A 18 παντὸς A, fort. πάντοσ' 19 ad hunc v. et seq. adnotavit m. rec.: ἐγράφησαν με⌜τα⌝ τὴν ὀρθοδοξί⌜αν⌝ | ἐπι μι χ αὐτοκρατ ο υἱοῦ θεοφίλ⌜ου⌝ 22 adscripsit L in nova p. m^{e}: εωσ ω δ (= ὧδε) τ⌜ου⌝ (non τῆς, errat Paulssen) χρυσοτρι|κλίνου | ἔχοντα (acc. bis posito) A, fort. στέγοντα vel κιχόντα | χριστὸν A, corr. Jac.

Χριστοῦ τε μητρός, χριστοκηρύκων τύπους
καὶ τοῦ σοφουργοῦ Μιχαὴλ τὴν εἰκόνα.

107. *Εἰς τὸν αὐτὸν χρυσοτρί|κλινον.* A. L

Ὡς τὴν φαεινὴν ἀξίαν τῆς εἰκόνος
τῆς πρὶν φυλάττων, Μιχαὴλ αὐτοκράτωρ
κρατῶν τε πάντων σαρκικῶν μολυσμάτων,
ἐξεικονίζεις καὶ γραφῇ τὸν δεσπότην,
ἔργῳ κρατύνων τοὺς λόγους τῶν δογμάτων.

108. ΑΔΕΣΠΟΤΟΝ. A. L

Εἰς τὸν Ἀδάμ. L

Οὐ σοφίης ἀπάνευθεν Ἀδὰμ τὸ πρὶν ἐκαλεῖτο,
τέσσαρα γράμματ' ἔχων εἰς τέσσαρα κλίματα κόσμου·
ἄλφα γὰρ ἀντολίης ἔλαχεν, δύσεως δὲ τὸ δέλτα,
ἄλφα πάλιν δ' ἄρκτοιο, μεσημβρίης δὲ τὸ λοιπόν.

109. ΙΓΝΑΤΙΟΥ L

τοῦ Μαγί|στορος τῶν γραμμα|τικῶν. L

Εἰς τὸν ναὸν τῆς παναγίας θεοτόκου εἰς τὴν πηγήν. At

Πτωθέντα κοσμεῖ τὸν ναὸν τῆς παρθένου
Βασίλειός τε σὺν Κωνσταντίνῳ Λέων.

---

1 τε (non δὲ) A ‖ 3 εἶσ αὖ A χρ. add. L 5 τῆσ πρὶν A, fort. τὴν πρὶν | μιχαηλ A 7 γραφῆ* P^{pc} γραφὴν potius quam γραφῇ A^{ar} ‖ 9—10 ἀδ tantum A, ἐσποτο͞: εἰς τὸν ἀδα͞μ add. L 11 τὸ πρῖν A, quod perperam mutares in τὸ πάροιθ' aut τὰ πρῶτ' 12 ἔχων, εἰς (virg. ad dirimenda voc.) A 14 μεσήμβρίησ δετο λοιπόν A ‖ 15—17 Lemmati marg. (cfr. ad 17) nomen auctoris adiunxit L, litt. refecit m. rec. 15 ἰγνατιου P 17 πηγη͞ A | alterum lemma add. Jm^{e}: ἐν τ⌜ω⌝ ναῶ τῆσ πηγ⌜ησ⌝ 19 συν κωνταντίνω (sic, acuto corr. ex circ.) A ‖

110. *Εἰς τὸν αὐτόν.* A
εἰς τὸν τροῦλλον, | *ἐν τῇ ἀναλήψει.* L

Ἐκ γῆς ἀνελθὼν πατρικόν σου πρὸς θρόνον,
τὸν μητρικόν σου, σῶτερ, οἶκον δεικνύεις
πηγὴν νοητὴν κρειττόνων χαρισμάτων.

111. *Ἐν τῷ αὐτῷ ναῷ, εἰς τὴν* | *σταύρωσιν.* A

Ὁ νεκρὸς Ἅιδης ἐξεμεῖ τεθνηκότας,
κάθαρσιν εὑρὼν σάρκα τὴν τοῦ δεσπότου.

112. *Εἰς τὸν αὐτὸν ναόν, εἰς τὴν μεταμόρφωσιν.* At

Λάμψας ὁ Χριστὸς ἐν Θαβὼρ φωτὸς πλέον
σκιὰν πέπαυκε τοῦ παλαιτάτου νόμου.

113. *Ἐν τῷ αὐτῷ ναῷ, εἰς τὴν ὑπαντήν.* A

Ὁρώμενος νῦν χερσὶ πρεσβύτου βρέφος
παλαιός ἐστι δημιουργὸς τῶν χρόνων.

114. *Ἐν τῷ αὐτῷ ναῷ, εἰς τὸν χαιρετισμόν.* A

Προοιμιάζει κοσμικὴν σωτηρίαν
εἰπὼν τὸ Χαῖρε ταῖς γυναιξὶ δεσπότης.

1—2 εἶσ αὖ A, εισ τον τρουl (= τροῦλον; Jac. τροῦλλον) et quae seq. verba add. L ‖ 6 ε͂ν ᾶυ (pro ἐν τῷ αὐτῷ ut l. 12, 15, saepe) ναῶ A | εἶσ στ̄ρ̄ωσι¯ (= σταύρωσιν) A, εἰς τὴν ἀνάστασιν mavult Boiss.; fort. praetermisit A epigramma in crucifixionem servato lemmate: v. ad 12 7 ἄδησ A ‖ 11 παλαιτάτου (non παλαιοτάτου ut apogr. Par.) A, malim παλαιτέρου ‖ 12 π̄ῦ (comp. pro ὑπαντήν sive ὑπαπαντήν) A in ras., χαιρε͂ A^{ar} (aberrans ad lemma epigr. 114) 13 ὁρώμενος A, fort. ὀχούμενος: cfr. Anth. Gr. carm. christ. ed. Christ et Paranikas p. 84 XIV 10. 12. 28 (ὁ Συμεὼν ἀγκαλίζεται χερσί), p. 173 IV 11 sq. 97 ‖ 15 εισ⌜τον⌝ (articulus non om., sed comp. scriptus) χαιρ̄ε A ‖

115. *Εἰς τὴν θεοτόκον.* A

Παρθένος υἱέα τίκτε· μεθ' υἱέα παρθένος ἦεν.

116. ⟨*Εἰς τὸν Σωτῆρα.*⟩

Δέχνυσο, παρθενικῆς τέκος ἄφθιτον, υἱὲ θεοῖο,
δῶρ' ἀπὸ κρυστάλλων, δῶρ' ἀπὸ σαρδονύχων.

P 62 117. *Εἰς τὸν τυφλόν.* J

Ἔβλεψε τυφλὸς ἐκ τόκου μεμυσμένος·
Χριστὸς γὰρ ἦλθεν, ἡ πανόμματος χάρις.

118. *Εὐκτικά.* J

Ἤγειρεν ἡμῖν τῶν παθῶν τρικυμίαν
ἐχθρὸς κάκιστος, πνευματώσας τὸν σάλον,
ὅθεν ταράσσει καὶ βυθίζει καὶ βρέχει
τὸν φόρτον ἡμῶν ψυχικῆς τῆς ὁλκάδος·
ἀλλ', ὦ γαλήνη καὶ στορεστὰ τῆς ζάλης,

---

2 *τίκτει* A, corr. Jac. ‖ 3 lemma add. Jac., *εισ⌜τον⌝ αὐτόν* perperam P in ras., *εὐκτικά* A^{ar}, qui idem titulus post clausul. epigr. recurrit pertinens ad epigr. 30 ab J post ep. 116 iteratum (cfr. ad 5) 4—5 de hoc ep. disputavi in annal. phil. a. 1889, p. 755. praecedunt in cod. (et in edit.) versus duo: *χε̄ μάκαρ· μερόπων φάος ἄφθιτον· υἱὲ θεοῖο* (= 30, 1 et 116, 1) *δῶρ' ἀπὸ κρυστάλλων, δῶρ' ἀπὸ σαρδονύχων* (= 116, 2). Utrumque delevi, sed praeeunte librario, qui obelum *ȷ* (cfr. praef. de signis criticis) et voci *χε̄* et *δῶρ'* praefixit, notulam initialem ante *δέχνυσο* adpinxit 4 *τέκοσ* A (errant Jac. Dübn.) | *υἱε θεοῖο* C *υἱε θῦ* A^{ac} 5 sequitur ep. 30 ab J repetitum initio p. 62 cum lemmate *εἰσ τὸν σωτῆρα*, cui ab A titulus *εὐκτικά* praemissus est, cfr. ad 3 et p. 13, 7 ‖ 6 *τυφλο͞ν* (*ν* lineola et litt. expressum) J: ultima sicut prima christianorum epigr. scripsit J, cfr. ad p. 1, 2—5 8 *χ̄σ* J; an *Χριστοῦ*? | *ηλ̈* J *ἦλθεν* Jac.; fort. *ἤλυθ'* | *πανόμμᾰ̈* J ‖ 10—p. 32, 3 pro octo trimetris in P quinque versus sunt desinentes in *κάκιστοσ — βρέχει — γαλήνη — ἁμαρτίας — βεβρεγμένον*; post duplici puncto (*τρικυμίαν: ἐχθρὸς*) singuli trimetri terminati sunt 10 *παθῶν* J (errat etiam Paulssen) 11 *τὸν σαλον* J 14 *στορεστὰ τῆς ζάλ⌜ησ⌝* J, fort. *στορεῦ κακῆς ζάλης* (cfr. Hesych. s. v. *στορεύς*)

σύ, Χριστέ, δείξαις ἀβρόχους ἁμαρτίας,
τῷ σῷ πρὸς ὅρμῳ προσφόρως προσορμίσας,
ἐχθρὸν δὲ τοῦτον συμφοραῖς βεβρεγμένον.

119. Ὑπόθεσις ⟨τῶν Πατρικίου⟩ | Ὁμηροκέντρων. J

Βίβλος Πατρικίοιο θεουδέος ἀρητῆρος,
ὃς μέγα ἔργον ἔρεξεν, Ὁμηρείης ἀπὸ βίβλου
κυδαλίμων ἐπέων τεύξας ἐρίτιμον ἀοιδήν,
πρήξιας ἀγγέλλουσαν ἀνικήτοιο θεοῖο·
ὡς μόλεν ἀνθρώπων ἐς ὁμήγυριν, ὡς λάβε μορφὴν
ἀνδρομέην, καὶ γαστρὸς ἀμεμφέος ἔνδοθι κούρης
κρύπτετο τυτθὸς ἐών, ὃν ἀπείριτος οὐ χάδε κύκλος·
ἠδ' ὡς παρθενικῆς θεοκύμονος ἔσπασε μαζόν,
παρθενίοιο γάλακτος ἀναβλύζοντα ῥέεθρον·
ὡς κτάνεν Ἡρώδης ἀταλάφρονας εἰσέτι παῖδας,
νήπιος, ἀθανάτοιο θεοῦ διζήμενος οἶτον·
ὥς μιν Ἰωάννης λοῦσεν ποταμοῖο ῥεέθροις·
ὥς τε δυώδεκα φῶτας ἀμύμονας ἔλλαβ' ἑταίρους·

---

2 πῷ ὅρμωι J | προσφόρ⌜ωσ⌝ πρὸσόρμίσας J 3 του⌜τον⌝ συμφῷ (comp. non αισ sed εσ significare solet) J, τοῦτον συμφοραῖς Jac. ‖ 4—33, 15 Centonis ὑπόθ. ediderunt E. Abel (Zeitschr. f. öst. G. 32, 163) ex cod. M (Mut. 388) et V (Pal. 326), Ludwich (Mus. Rh. 37, 212). Patricii ὑπόθεσιν excipiunt in MV Eudociae in eadem Ὁμηρόκ. versus 4 post ὑπόθεσισ in ras. scripsit J απολογία ενφ$^{\mu}$ (i. e. εὔφημοσ; cum his verbis interpolatis cfr. titulus Eudociae versibus praefixus in M: ἡ δὲ ἀπολογία Εὐδοκίας etc.): eraserat J ὁμηροκέντρων quod redit post verba insitiva; in M est titulus ὑπόθεσις τῶν Ὁμηροκέντρων 5—8 quattuor versus separavit J a ceteris, signo initiali appicto et ante βίβλος 5 et ante ὡς 9 5 πατρικίου M | θεοειδέος MV 8 ἀγγελέουσαν MV 9 ὃς pro ὡς utroque l. M 11 ἀπείριτος M ἀπείρητος J ἀπείρατος V 12 ἠδ' J ἠδ' VM^{1} (sed ἢδ' M^{2}) | παρ θενικῆσ J^{pr} πὰρ θενικῆσ J^{ar} | μαστόν V 13 cfr. Nonn. D. IX 58 | παρθένοιο et ῥέεθρα MV 14 εἰσ ἔτι JM 15 θεοῖο MV 17 ὥστε JM ὅττι V | ἔλλαβ' J, idem correctum ex ἔλαβ' V ἐλλάχ M^{2} (nisi quod ά scripsit m. 1)

ὅσσων τ' ἄρτια πάντα θεὸς τεκτήνατο γυῖα,
νούσους τ' ἐξελάσας στυγερὰς βλεφάρων τ' ἀλαωτύν·
ἠδ' ὅππως ῥείοντας ἀπέσβεσεν αἵματος ὁλκοὺς
ἁψαμένης ἑανοῖο πολυκλαύτοιο γυναικός·
ἠδ' ὅσσους μοίρῃσιν ὑπ' ἀργαλέῃσι δαμέντας
ἤγαγεν ἐς φάος αὖθις ἀπὸ χθονίοιο βερέθρου·
ὥς τε πάθους ἁγίου μνημήια κάλλιπεν ἄμμιν·
ὥς τε βροτῶν ὑπὸ χερσὶ τάθη κρυεροῖς ἐνὶ δεσμοῖς
αὐτὸς ἑκών· οὐ γάρ τις ἐπιχθονίων πολεμίζοι
ὑψιμέδοντι θεῷ, ὅτε μὴ αὐτός γε κελεύοι·
ὡς θάνεν, ὡς Ἀίδαο σιδήρεα ῥῆξε θύρετρα,
κεῖθεν δὲ ψυχὰς θεοπειθέας οὐρανὸν εἴσω
63 ἤγαγεν ἀχράντοισιν ὑπ' ἐννεσίῃσι τοκῆος,
ἀνστὰς ἐν τριτάτῃ φαεσιμβρότῳ ἠριγενείῃ
ἀρχέγονον βλάστημα θεοῦ γενετῆρος ἀνάρχου.

120. Ἐν Βλαχέρναις. ἴαμβοι. J

Εἰ φρικτὸν ἐν γῇ τοῦ θεοῦ ζητεῖς θρόνον,
ἰδὼν τὸν οἶκον θαύμασον τῆς παρθένου·

---

1 ὁσσων (sic) J ὅσσον M^{ac} 2 νούσουστ' P^{pc} νούσουτ' J^{ac} | στυγερᾶσ J στυγερὴν V | τ' alterum om. M | ἀλαωτύν J ἀλαωτύς M ἀλαωτήν V 3 ἠδ' JM | ὅπωσ JMV, ὅππως Jac. | ῥύοντας V 4 versum om. M | ἀψαμένης J | ἑανοῖο et πολυκλαύστοιο V 5 ἤδ' J ἠδ' M | ὅσους μαρτυρίησιν M 6 εἰς φάος M | αὖτις? | fort. ὑπὸ (cfr. Hymn. Hom. V 337) | χθόνοιο βαράθρου V 7 μνημεῖα V 9 ἑκὼν J | ἐπιχθονίων Jac.: ἐπὶ χθονίων J, ἐπὶ χθονι M^1 χθονίων corr. M^2 10 ὑψιμέδοντα θεόν M (non ideo scrib. πελεμίζοι) | μὴ JV μήτ' M | γε JVM (rest. γ M^2); nec γε nec ὅτε mutand., v. Ξ 248 | κελεύει V 11 ῥῆξαι J ῥῆξε MV | θύραθρα V 13 ἀχράντῃσιν ἐπ' αἰνεσίῃσι V 14 ἀναστὰς M | ἠριγενείῃ M ἠριγένει V 15 in M add. ante Eudociae vs. haec: τούτουσ μὲν ἐξέθετο | Πατρίκιοσ ἐπίσκοποσ ‖ 16—p. 35, 2 carm. 120 et 121 Georgio Pisidae tribuit, ex cod. Par. n. 1630 p. 166 (= B) edidit ad Zon. XIV 16 p. 65 Du Cange (DC.); eadem leguntur apud Bandur. in ant. Cp. VII 177 (Bd.), in append. nova corp. script. Byz. Rom. 1777 p. 334 (Ap.) 16 εἰς τὸν ἐν Βλαχέρναις ναόν· τοῦ αὐτοῦ (sc. Georg. Pis.) B

ἡ γὰρ φέρουσα τὸν θεὸν ταῖς ἀγκάλαις,
φέρει τὸν αὐτὸν εἰς τὸ τοῦ τόπου σέβας·
ἐνταῦθα τῆς γῆς οἱ κρατεῖν τεταγμένοι
τὰ σκῆπτρα πιστεύουσι τῆς νίκης ἔχειν·
ἐνταῦθα πολλὰς κοσμικὰς περιστάσεις
ὁ πατριάρχης ἀγρυπνῶν ἀνατρέπει·
οἱ βάρβαροι δὲ προσβαλόντες τῇ πόλει,
αὐτὴν στρατηγήσασαν ὡς εἶδον μόνον,
ἔκαμψαν εὐθὺς τοὺς ἀκαμπεῖς αὐχένας.

121. Εἰς τὸν αὐτὸν ναόν. J

Ἔδει γενέσθαι δευτέραν θεοῦ πύλην
τῆς παρθένου τὸν οἶκον, ὡς καὶ τὸν τόκον·
κιβωτὸς ὤφθη τῆς πρὶν ἐνθεεστέρα,
οὐ τὰς πλάκας φέρουσα τὰς θεογράφους,
ἀλλ' αὐτὸν ἔνδον τὸν θεὸν δεδεγμένη.
ἐνταῦθα κρουνοὶ σαρκικῶν καθαρσίων
καὶ ψυχικῶν λύτρωσις ἀγνοημάτων.
ὅσαι γάρ εἰσι προσβολαὶ παθημάτων,
βλύζει τοσαύτας δωρεὰς τῶν θαυμάτων.
ἐνταῦθα νικήσασα τοὺς ἐναντίους
ἀνεῖλεν αὐτοὺς ἀντὶ λόγχης εἰς ὕδωρ·

---

1 ἡ γὰρ B αὐτὴ γὰρ ἡ J, quod retinet deleto articulo τὸν Jac. | ταῖς ἀγκ. B ἐν ἀγκ. J (Jac.) ἐν ταῖς ἀγκ. Ap. 2 φορεῖ Ap. 4 σκήπτρα J 5 κοσμικᾶς J 7 δὲ προσβαλόντες B, δὲ ὑπερβάλλοντες DC. (Bd.), δὲ ὑπερβαλόντες Ap., δὲ περιλαβόντες J, quod tuearis conl. G. Pis. b. Av. 64: βάρβαροι κύκλῳ περισφίγξαντες | τὴν πόλιν J τῇ πόλει B 8 μόνον B μόνην J ‖ 10 ἄλλως DC., ἄλλοι (sc. στίχοι) B 11 δεῖ γίνεσθαι DC. | πύλιν B; ceterum cfr. Georg. Pis. Hex. 1785 12 ὡς δὲ τὸν Ap. 13 ὄφθη DC. 17 ψυχικῶν λύτρωσις B ψ. βλύζουσιν J ψυχικαὶ λυτρώσεις DC. (Bd.) Ap. 18 προσβολαὶ παθημάτων B τῶν παθῶν περιστάσεις J 19 τοσαύτων DC., sed τοσαύτας B cum J | δωρεᾶς J 20 τῶν ἐναντίων in textu, γρ. τοὺς ἐναντι⌜ους⌝ in fine v. J cum B 21 εἰς ὕδωρ corrupt., fort. εἰσόδῳ:

τροπῆς γὰρ ἀλλοίωσιν οὐκ ἔχει μόνη,
θεὸν τεκοῦσα καὶ κλονοῦσα βαρβάρους.

122. ΜΙΧΑΗΛ ΧΑΡΤΟΦΎΛΑΚΟΣ. J

Εἰς τὴν θεοτόκον | βαστάζουσαν τὸν Χριστόν. J

Αὕτη τεκοῦσα παρθένος πάλιν μένει·
καὶ μὴ θροηθῇς· ἔστι γὰρ τὸ παιδίον
θεός, θελήσας προσλαβέσθαι σαρκίον.

123. ΣΩΦΡΟΝΙΟΥ. J

Εἰς τὸν κρανίου | λίθον ἐν Ἱερουσαλήμ. J

Πέτρα τρισμακάριστε, θεόσσυτον αἷμα λαχοῦσα,
οὐρανίη γενεὴ σε πυρίπνοος ἀμφιπολεύει,
καὶ χθονὸς ἐνναετῆρες ἀνάκτορες ὑμνοπολοῦσι.

---

cfr. Georg. Pis. Hexaëm. 1821: *ἀνεῖλεν αὐτὸν ἀντὶ λόγχης τῷ ξύλῳ*

1 *μόνη* B *μόνην* J 2 *θεὸν* B *χριστὸν* J ‖ 3—7 ep. 122 legitur iterum in Pal. p. 667 (P^2) post A. P. XV 17 (errant edit.) cum lemmate *εἰσ τ⌜ην⌝ αυτήν μι*$^{\chi}$ 3 *χα*$^{\tau}_{\rho}$ *φύλ⌜ακος⌝* (non *χαρτοφύλαξ*, cfr. tab. comp.) J in fine v. 122, 1 4 *εἰσ την θεοτο⌜κον⌝ βασταζουσαν τ⌜ον⌝* $\overline{\chi\nu}$ J 5 *παρ*$^{\vartheta}_{\rho}$ *παλιν* P^2 6 *μὴ θροηθῆσ* J *μη θροηθ⌜ησ⌝* P^2 (*μητροήθης* Jac.) 5—6 duos trimetros punctis (:) distinxit, sed in una lin. scripsit P^2, tertium add. in mg. inf. ‖ 9 *κρανι⌜ου⌝* et *εν ϊλη̄μ̄* comp. J

II.

P 64 # ΧΡΙΣΤΟΔΩΡΟΥ ΠΟΙΗΤΟΥ̃ M 58ᵛ
ΘΗΒΑΙΟΥ ΚΟΠΤΙΤΟΥ ΄ΕΚΦΡΑΣΙΣ

τῶν ἀγαλμάτων τῶν εἰς τὸ δημόσιον γυμνάσιον τοῦ | ἐπικαλουμένου Ζευξίππου.

Δηίφοβος μὲν πρῶτος ἐυγλύπτῳ ἐπὶ βωμῷ
ἵστατο, τολμήεις, κεκορυθμένος, ὄβριμος ἥρως,
τοῖος ἐών, οἷός περ ἐπορνυμένῳ Μενελάῳ
περθομένων ἤντησεν ἑῶν προπάροιθε μελάθρων.
ἵστατο δὲ προβιβῶντι πανείκελος· εὖ δ' ἐπὶ κόσμῳ
δόχμιος ἦν, μανίῃ δὲ κεκυφότα νῶτα συνέλκων
δριμὺ μένος ξυνάγειρεν· ἔλισσε δὲ φέγγος ὀπωπῆς,
οἷά τε δυσμενέων μερόπων πεφυλαγμένος ὁρμήν.
λαιῇ μὲν σάκος εὐρὺ προϊσχετο, δεξιτερῇ δὲ

---

1 Christodori ecphrasis continetur cod. Pal. p. 64—76, 15. Textum scripsit A, lemmata add. idem, quae partim auxit L. Planudeae complectitur liber V descriptionem Christodori; in Marc. 481 (Pl^{M}) legitur fol. 58ᵛ—61ᵛ; cfr. etiam ad 57, 13 2—5 titulum carminis iunctum cum lemmate statuae primae (v. ad 6) scripsit A p. 64; eundem fere descriptionis titulum exhibet Pl: (*ἐν τῷδε τῷ πέμπτῳ τμήματι περιέχεται*) *ἔκφρασις Χριστοδώρου — Κοπίτου* (sic), *τῶν ἀγαλμάτων — γυμνάσιον τὸ ἐπικαλούμενον τοῦ Ζευξίππου* 6 lemma *εἰσ το ἄγαλμα του δηϊφοβου* A in t., alterum *εἰς τὸ αγαλμα|δηϊφόβου* L m^{e}, *εἰς Δηίφοβον* Pl 10 *εὖ δ' ἐπικόσμωι* A *εὖ δ' ἐπὶ*∗*κοσμῳ* Pl^{M} 12—14 adnotavit L m^{e}: *ου⌈τοσ⌉ ο δηϊφοβοσ ὑιοσ | πριαμου αδελφοσ | εκτοροσ καὶ αλεξαν*^{δρ} 14 *προϊσχετο* A

φάσγανον ὑψόσ' ἄειρεν· ἔμελλε δὲ μαινομένη χεὶρ
ἀνέρος ἀντιβίοιο κατὰ χροὸς ἆορ ἐλάσσαι·
ἀλλ' οὐ χαλκὸν ἔθηκε φύσις πειθήμονα λύσσῃ.

Κεκροπίδης δ' ἤστραπτε νοήμονος ἄνθεα Πειθοῦς
Αἰσχίνης· λασίης δὲ συνείρυε κύκλα παρειῆς,
οἷα πολυτροχάλοισιν ἀεθλεύων ἀγορῇσιν·
στείνετο γὰρ πυκινῇσι μεληδόσιν. Ἄγχι δ' ἐκείνου
ἦεν Ἀριστοτέλης, σοφίης πρόμος· ἱστάμενος δὲ
χεῖρε περιπλέγδην συνεέργαθεν, οὐδ' ἐνὶ χαλκῷ
ἀφθόγγῳ φρένας εἶχεν ἀεργέας, ἀλλ' ἔτι βουλὴν
σκεπτομένῳ μὲν ἔικτο· συνιστάμεναι δὲ παρειαὶ
ἀνέρος ἀμφιέλισσαν ἐμαντεύοντο μενοινήν,
καὶ τροχαλαὶ σήμαινον ἀολλέα μῆτιν ὀπωπαί.

Καὶ Παιανιέων δημηγόρος ἔπρεπε σάλπιγξ,
ῥήτρης εὐκελάδοιο πατὴρ σοφός, ὁ πρὶν Ἀθήναις
Πειθοῦς θελξινόοιο νοήμονα πυρσὸν ἀνάψας.
ἀλλ' οὐκ ἠρεμέων διεφαίνετο, πυκνὰ δὲ βουλὴν

---

2 *ἀντιβίου* Pl (*ἄλλωσ*, *ἀντοβίοιο* schol.^{w}) | *ἄορ ἐλᾶσσαι* A *ἆορ ἐλάσσειν* Pl 3 *ἄλλου* A ‖ 4 *εἰσ* ⌜*το*⌝ *ἄγαλ*⌜*μα*⌝ (cfr. tab. comp.) *αἰσχι* (litt. *νου* interciderunt in membr. mutilata) A *τ*⌜*ου*⌝ *ῥήτοροσ* add. L; Pl^{I} nulla praebet inde capitum lemmata; *εἰς Αἰσχίνην ῥήτορα* Pl^{M} Pl^{a} *εἰς Αἰσχίνην ῥήτορα καὶ εἰς Ἀριστοτέλην* Pl$^{s.\,w}$ (in eundem modum composita sunt cetera quae in Pl^{M} et Pl^{E} exstant descriptionis lemmata, ut paucis exceptis nihil opus sit ea afferre) 4 *ἤστραπτε* A *δ' ἤστραπτε* Pl | *ἄνθεα* A consentiens cum Pl, in *ἄνθεμα* (supra scripto *μ*) mutat C; hoc vix tuearis ita ut acc. plur. (cfr. Zeitschr. f. öst. G. 1878, 326) ad verb. referas; post *ἤστραπτε* nec in P nec in Pl^{M}, sed ab edit. distinguitur: *νοήμονα δήνεα*? cf. v. 25 5 *παρει*⌊*ῆσ*⌋ C *παρειᾶς* A^{ar} 6 fort. *πολυκροτάλοισιν* | *ἀγορῇσι* Pl 7 *μελῆδόσιν* A ‖ 7—8 l. *εἰσ τὸ ἄγ. ἀριστοτελ* A *του φιλοσόφου* add. L 8 *ἱσταμένοσ* A 10 (et 17) *βουλήν* in *βουλὴν* mut. C (ut v. 17. 120 *δε*$^{\times}$, 79 *γυμνῆ*$^{\times}$, alia in fine v. vocabula acuto ab A, gravi a C instructa sunt) 12 *ἀνέροσ* C *ἂν ἔροσ* (?) A^{ar} ‖ 14 *εἰσ τὸ ἄγ. τοῦ* (sic, errant edit.) *δη*|*μοσθένουσ* A *τ*⌜*ου*⌝ *μεγάλου ῥήτοροσ*:|*του παιανιέωσ* add. L 14 *δημηγόοσ* Pl^{I} | *σάλπιξ* cum *γ* supra add. A

ἑστρώφα, πυκινὴν γὰρ ἐείδετο μῆτιν ἑλίσσειν,
οἷα κατ' εὐόπλων τεθωμένος Ἡμαθιήων·
ἦ τάχα κεν κοτέων τροχαλὴν ἐφθέγγετο φωνήν,
ἄπνοον αὐδήεντα τιθεὶς τύπον· ἀλλά ἑ τέχνη
P 65 *χαλκείης ἐπέδησεν ὑπὸ σφρηγῖδα σιωπῆς.*

6 *Ἵστατο δ' Εὐρίποιο φερώνυμος· ὡς δὲ δοκεύω,*
λάθρῃ ὑπὸ κραδίην τραγικαῖς ὡμίλεε Μούσαις,
ἔργα σαοφροσύνης διανεύμενος· ἦν γὰρ ἰδέσθαι
οἷά τέ που θυμέλῃσιν ἐν Ἀτθίσι θύρσα τινάσσων.

10 *Δάφνῃ μὲν πλοκαμῖδα Παλαίφατος ἔπρεπε μάντις*
στεψάμενος, δόκεεν δὲ χέειν μαντώδεα φωνήν.

Ἡσίοδος δ' Ἀσκραῖος ὀρειάσιν εἴδετο Μούσαις M 5
φθεγγόμενος, χαλκὸν δὲ βιάζετο θυιάδι λύσσῃ,
ἔνθεον ἱμείρων ἀνάγειν μέλος. Ἐγγύθι δ' αὐτοῦ

15 *μαντιπόλος πάλιν ἄλλος ἔην φοιβηίδι δάφνῃ*
κοσμηθεὶς Πολύειδος· ἀπὸ στομάτων δὲ τινάξαι
ἤθελε μὲν κελάδημα θεοπρόπον, ἀλλά ἑ τέχνη
δεσμῷ ἀφωνήτῳ κατερήτυεν. Οὐδὲ σὺ μολπῆς
εὔνασας ἁβρὸν ἔρωτα, Σιμωνίδη, ἀλλ' ἔτι χορδῆς

20 *ἱμείρεις, ἱερὴν δὲ λύρην οὐ χερσὶν ἀράσσεις.*
ὤφελεν ὁ πλάσσας σε, Σιμωνίδη, ὤφελε χαλκῷ

---

1 *ἑλίσσειν* (ut saepius) A 2 *ἡμαθ⌊ιή⌋ων* P 3 *ἦ* P *ἤ* Pl | noli *ἐρρήγνυτο* corr. 4 *ἀλλάε* (ut v. 43) A 5 *σφραγῖδα* A *σφρηγῖδι* Pl^{M} Pl^{s} *σφρηγίδι* Pl$^{I.a}$, scripsi *σφρηγῖδα* ‖ 6 l. *εἰσ ἄγ. εὐ|ριπίδου* A *του τραγικοῦ* add. L 7 *λάθρη* A Pl^{M} Pl$^{I.s}$ *λάθρῃ* Pl^{a} | *ὠμίλεε* A 8 *διανεύ μένοσ* A; ue *δεδαημένος* (cl. v. 228) requiras cfr. Musae. 205 ‖ 10 l. *εἰσ ἄγ. πα|λαιφάτου* A 11 *στεφόμενος* Pl *στεψόμενος* Fabr. Bibl.^{4} I 182 | *⌊φ⌋ωνήν* A ‖ 12 l. *εἰσ ἄγ. ἡσι|όδου* Am^{e}, sed *ἡσίοδος* A in t. 13 *δ' ἐβιάζετο* Pl^{E}, quod codicum P et Pl^{M} lectioni *δὲ βιάζετο* non praeferendum docet Tiedke | *θυάδι* Pl 14 *ἔνθέ⌊ο⌋ν* P *ἐνθέων* A^{ac} | *ἱμείρων* A ‖ 15 *εἰσ ἄγ.|πολυείδου* A *εἰσ Πολύειδον μάντιν* Pl^{M} 16 *πολύειδος* ex *πολύιδος* corr. Pl^{M} | *τινάξας* A, corr. Pl ‖ 18 post *μολπῆσ* (ut v. 16 post *ἐκείνου*) claus. est; lm. *εἰς ἄγ. σιμωνίδου* add. A m^{e} 19 *ἁβρὸν* A 21 *πλάσασ* P *πλάσσας* Pl

συγκεράσαι μέλος ἡδύ· σὲ δ' ἂν καὶ χαλκὸς ἀναιδὴς
αἰδόμενος ῥυθμοῖσι λύρης ἀντήχεε μολπήν.
Ἦν μὲν Ἀναξιμένης νοερὸς σοφός· ἐν δὲ μενοινῇ
δαιμονίης ἐλέλιξε νοήματα ποικίλα βουλῆς.
Θεστορίδης δ' ἄρα μάντις ἐύσκοπος ἵστατο Κάλχας,
οἷά τε θεσπίζων· ἐδόκει δ' ἔτι θέσφατα κεύθειν,
ἢ στρατὸν οἰκτείρων Ἑλλήνιον, ἢ ἐνὶ θυμῷ
δειμαίνων βασιλῆα πολυχρύσοιο Μυκήνης.
Δέρκεό μοι σκύμνον πτολιπόρθιον Αἰακιδάων,
Πύρρον Ἀχιλλείδην, ὅσον ἤθελε χερσὶν ἐλίσσειν
τεύχεα χαλκήεντα, τὰ μή νύ οἱ ὤπασε τέχνη·
γυμνὸν γάρ μιν ἔτευξεν· ὁ δ' ὑψόσε φαίνετο λεύσσων,
οἷά περ ἠνεμόεσσαν ἐς Ἴλιον ὄμμα τιταίνων.
〈Ἕστο δ' Ἀμυμώνη ῥοδοδάκτυλος· εἰς ὀπίσω μὲν
βόστρυχον ἀκρήδεμνον ἑῆς συνέεργεν ἐθείρης·
γυμνὸν δ' εἶχε μέτωπον· ἀναστέλλουσα δ' ὀπωπὰς
εἰνάλιον σκοπίαζε μελαγχαίτην παρακοίτην.〉
Ἐγγύθι δ' εὐρύστερνος ἐφαίνετο Κυανοχαίτης
γυμνὸς ἐών, πλόκαμον δὲ καθειμένον εἶχεν ἐθείρης,

---

1 συν κεράσαι Pl^{1} | ἀναυδὴσ Pl: sed cfr. N 139 2 αὐδόμενοσ P, corr. Pl | ἀνήχεε P Pl (indicata lac. Pl^{M}), corr. Br. || 3 εἰσ ἄγ. ἀνα|ξιμένουσ A | ἐνδε A 4 ποικῖλα A acutum add. C || 5 l. εἰς ἄγ. κάλ|χαντ⌈οσ⌉ A | δ' ἄρα Pl: δ' om. A 6 δ' ἔτι Ludwich: δέ τε P Pl 7 ἑλλήνιον: ' C erasis signis quae erant supra η et ι | ἢ ἔτι P ἠέ τι Baumg.; ἢ ἐνὶ scripsi (cfr. v. 76. 177. 200) || 9 εἰσ ἄγ.|πύρρου A εἰς Πύρρον τὸν καὶ Νεοπτόλεμον Pl (praeter Pl^{1}) | σκύμνον ex σκῦμνον C 11 τάμιν δῖ (vel δί; spir. C) ὤπασε P; τὰ μή οἱ ὤπ. Pl^{E}, eadem Pl^{M}, nisi quod μὴ habet ex μὴν? correctum; τὰ μὴ ἑοῖ Jac.; correxi cl. Nonn. D. 26, 155 12 ἔτευξε P, corr. Pl | ὅδ' Pl^{M} Pl$^{1.a}$ 13 περ * ἠνεμόεσσαν P: post ρ scripserat ε A^{ar} || 14—17 om. P servavit Pl 14 l. εἰς Ἀμυμώνην Pl^{M} Pl^{a} τοῦ Δανάου (sic) θυγατέρα add. Pl^{b} | εἰσοπίσω Pl^{M} || 18 εἰσ ἄγ. πο|σειδῶνοσ A 19 πλόκαμοσ A ν supra σ scripsit C

καὶ διερὸν δελφῖνα προϊσχετο, χειρὶ κομίζων
P 66 δῶρα πολυζήλοιο γάμων μνηστήρια κούρης.
Πιερικὴ δὲ μέλισσα, λιγύθροος ἕζετο Σαπφώ,
Λεσβιάς, ἠρεμέουσα· μέλος δ' εὔυμνον ὑφαίνειν
σιγαλέαις δοκέεσκεν ἀναψαμένη φρένα Μούσαις.
Φοῖβος δ' εἰστήκει τριποδηλάλος· ἦν δ' ἄρα χαίτης
εἰς ὀπίσω σφίγξας ἄδετον πλόκον· ἀλλ' ἐνὶ χαλκῷ
γυμνὸς ἔην, ὅτι πᾶσιν ἀνειρομένοισιν Ἀπόλλων
γυμνῶσαι δεδάηκεν ἀληθέα δήνεα Μοίρης,
ἢ ὅτι πᾶσιν ὁμῶς ἀναφαίνεται· ἠέλιος γὰρ
Φοῖβος ἄναξ, καθαρὴν δὲ φέρει τηλέσκοπον αἴγλην.
Ἄγχι δὲ Κύπρις ἔλαμπεν· ἔλειβε δὲ νώροπι χαλκῷ
ἀγλαΐης ῥαθάμιγγας· ἀπὸ στέρνοιο δὲ γυμνὴ
φαίνετο μέν, φᾶρος δὲ συνήγαγεν ἄντυγι μηρῶν,
χρυσείῃ πλοκαμῖδας ὑποσφίγξασα καλύπτρῃ.
Κλεινιάδην δὲ τέθηπα, περιστίλβοντα νοήσας
ἀγλαΐῃ· χαλκῷ γὰρ ἀνέπλεκε κάλλεος αὐγήν,
τοῖος ἐών, οἷός περ ἐν Ἀτθίδι, μητέρι μύθων,
ἀνδράσι Κεκροπίδῃσι πολύφρονα μῆτιν ἀείρων.

---

1 προϊσχετο A ‖ 3 l. εἰσ ἄγ. σαπ|φοῦσ A τησ λυρικ⌜ησ⌝ add. L | π⌞ι⌟ερικὴ C πεερικὴ (?) A^{ar} | ἕζετο (incerto spir. 42, 3) A | σαπφώ: π ex ρ, non ex φ cr. C 4 ἠρεμοῦσα (sic) A é supra μ add. C ἠρεμέουσα Pl | ἔνυμνον Pl | ὑφαίνει P, corr. Pl 5 ἀναψαμένη A, in ἀναψαμένην mut. C (idem exhib. Pl$^{i.b}$) ‖ 6 εἰς ἄγ. ἀπόλ|λωνος A του πυθίου add. L | εἰστήκει A εἶστ. Pl ἕστήκει Jac.: sed cfr. Wernicke ad Tryphiod. 40 | τριποδήλαλοσ A τριποδιλάλος Pl (ex τριποδηλ. corr. Pl^{M}) | δ' ἄρα P | χαίτησ A: ν supra σ add. C 7 εἰσοπίσω Pl^{M} | fort. ἄνετον 8 ἄνειρομένοισιν A 9 δί·νεα A, corr. Pl 10 fort. πᾶσι φόως 11 τηλοσκοπὸν A τηλεσκόπον Pl τηλέσκοπον Br. ‖ 12 l. εἰς ἄγ. ἀ|φροδίτησ A | ἄγχι⌣δὲ: hyphen C 14 φάροσ (ut 43, 18; 45, 19, saepe) A | malim συνέργαθεν 15 χρυσείη πλοκαμίδας A ‖ 16 εἰς ἄγ. τοῦ A; articulum delevit L addens: αλκιβιάδου του|ερωμένου σωκρατ⌜ουσ⌝ (εἰς nomine om. Pl^{M}; εἰς κλεινιάδην Pl^{E} praeter Pl^{I}) 18 οἱόσπερ: π in eraso θ ? P 19 ἀγείρων P Pl, ἐγείρων

Χρύσης δ' αὖθ' ἱερεὺς πέλας ἵστατο, δεξιτερῇ μὲν
σκῆπτρον ἀνασχόμενος Φοιβήιον, ἐν δὲ καρήνῳ
στέμμα φέρων· μεγέθει δὲ κεκασμένος ἔπρεπε μορφῆς,
οἷά περ ἡρώων ἱερὸν γένος· ὡς δοκέω δέ,
Ἀτρείδην ἱκέτευε· βαθὺς δέ οἱ ἤνθεε πώγων, 90
καὶ ταναῆς ἄπλεκτος ἐσύρετο βότρυς ἐθείρης.

Καῖσαρ δ' ἐγγὺς ἔλαμπεν Ἰούλιος, ὅς ποτε Ῥώμην
ἀντιβίων ἔστεψεν ἀμετρήτοισι βοείαις.
αἰγίδα μὲν βλοσυρῶπιν ἐπωμαδὸν ἦεν ἀείρων,
δεξιτερῇ δὲ κεραυνὸν ἀγάλλετο χειρὶ κομίζων, 95
οἷα Ζεὺς νέος ἄλλος ἐν Αὐσονίοισιν ἀκούων.

Εἵστήκει δὲ Πλάτων θεοείκελος, ὁ πρὶν Ἀθήναις
δείξας κρυπτὰ κέλευθα θεοκράντων ἀρετάων.

Ἄλλην δ' εὐπατέρειαν ἴδον χρυσῆν Ἀφροδίτην,
γυμνὴν παμφανόωσαν· ἐπὶ στέρνων δὲ θεαίνης 100
P 67 αὐχένος ἐξ ὑπάτοιο χυθεὶς ἐλελίζετο κεστός.

Ἵστατο δ' Ἑρμαφρόδιτος ἐπήρατος, οὔθ' ὅλος ἀνὴρ
οὐδὲ γυνή· μικτὸν γὰρ ἔην βρέτας. ἦ τάχα κοῦρον
Κύπριδος εὐκόλποιο καὶ Ἑρμάωνος ἐνίψεις.
μαζοὺς μὲν σφριγόωντας ἐδείκνυεν, οἷά τε κούρη· 105

Bothe, *ἀείδων* FG. Schmidt, scripsi *ἀείρων* (cfr. A. P. IX 642, 7 et ad 41, 9) ‖

1 l. *εἰσ ἄγ. χρύ|σου τοῦ ἱερέωσ* A | *χρύσῃσ* P | *δ' αὐθ'* A *δ' αὖ* Pl 4 variat poeta aut scripsit hic et v. 157 *ὡς δὲ δοκεύω*: cfr. v. 32. 180 5 *δέ οἱ* C *δέ ε* A^{ac} 6 *ταναῆσ* C *ταναὸσ*? A^{ar} | *ἄπλατοσ* Pl (sed *γρ. καὶ ἄπλεκτοσ* schol.^{w}) ‖ 7 *εἰσ ἄγ. ἰου|λίου καίσαροσ* A | *καίσαρ* A | *ἐλαμπεν* P 9 *ἀγείρων* (*ἀγ* ex *ἄγ* corr.) P, idem Pl^{M}; *ἀείρων* Pl^{E} 11 *οἷα ζεῦσ ÷ ἄλλοσ* A in textu, *÷ νέοσ* A m^{i} ‖ 12 l. *εἰσ ἄγ. τοῦ φι|λοσόφου πλάτωνοσ* A | *ἔστήκει* (sic) A ‖ 14 l. *εἰσ ἄγ. ἄλλησ|ἀφροδίτησ* A 14 *χρυσέην*? 16 *ἐξ ἀπαλοῖο*? cet. cfr. Baumg. de Chr. p. 55 ‖ 17 l. *εἰσ ἄγ. ἑρμαφροδίτου* A m^{e}, eodemque spiritu *ἑρμαφρόδ.* in t. et *ἑρμάωνος* (l. 19) | *οὐθόλοσ* A 18 *οὐδὲ* P *οὔτε* Pl

σχῆμα δὲ πᾶσιν ἔφαινε φυτοσπόρον ἄρσενος αἰδοῦς,
ξυνῆς ἀγλαΐης κεκερασμένα σήματα φαίνων.
Παρθενικὴ δ' Ἤρινν᾽ λιγύθροος ἕζετο κούρη,
οὐ μίτον ἀμφαφόωσα πολύπλοκον, ἀλλ' ἐνὶ σιγῇ
Πιερικῆς ῥαθάμιγγας ἀποσταλάουσα μελίσσης. 110
Μήτε λίπῃς Τέρπανδρον ἐύθροον, οὗ τάχα φαίης M
ἔμπνοον, οὐκ ἄφθογγον ἰδεῖν βρέτας· ὡς γὰρ ὀίω,
κινυμέναις πραπίδεσσιν ἀνέπλεκε μύστιδα μολπήν,
ὥς ποτε δινήεντος ἐπ' Εὐρώταο ῥοάων
μυστιπόλῳ φόρμιγγι κατεπρήυνεν ἀείδων 115
ἀγχεμάχων κακότητας Ἀμυκλαίων ναετήρων.
Ἠγασάμην δ' ὀρόων σε, Περίκλεες, ὅττι καὶ αὐτῷ
χαλκῷ ἀναυδήτῳ δημηγόρον ἦθος ἀνάπτεις,
ὡς ἔτι Κεκροπίδῃσι θεμιστεύων πολιήταις,
ἢ μόθον ἐντύνων Πελοπήιον. Ἱστάμενος δὲ 120
ἔπρεπε Πυθαγόρης Σάμιος σοφός, ἀλλ' ἐν Ὀλύμπῳ
ἐνδιάειν ἐδόκευε, φύσιν δ' ἐβιάζετο χαλκοῦ,

---

1 ἐφαίνετο A ἔφαινε Pl; neque hoc (sequente φαίνων) nec πᾶσιν placent; sed σχῆμα δ' ὁμῶς ἐπίφαυσκε vel σχ. δ' ἔπειτα τίταινε nolui rep. | ⌊αἰ⌋δοῦσ C ἂν δούσ A^{ac} 2 κεκερασμένη A, corr. Pl | φαῖνον Pl ‖ 3 εἰσ ἄγ. ἠρίννησ Am, in textu ἤρινν᾽ P (spir. perfecit C) 5 ραθάμιγγοσ A, corr. Pl ‖ 6 εἰς ἄγ. τερπάνδρου A | μή μελίπησ A, corr. Pl, nisi μηδὲ praeferendum 7 ἔμπνοον P^{pc} εὔπνοον? A^{ac}, εὔπνοον Pl^{I} Pl$^{a.i}$ in t. ἔμπνοον Pl^{M} Pl$^{a.i}$ in ἐπιθ. Pl^{s} 8 κινουμέναισ A, corr. Pl 10 μυστοπόλῳ Pl^{I} Pl$^{a.i}$ in textu (sed corr. Pl$^{a.i}$ in ἐπιθ.) 11 ἀμυκλέων A, corr. Pl ‖ 12 εἰσ ἄγ. πε⌊ρικλέουσ A 14 κ⌊ε⌋κροπίδησισ: κωι pro κε A^{ar} aberrans ad χαλκῷ (l. 13) 15 ἢ (an ἦ? accent. neglegenter ductus) μόθον A οὐ μόθον Pl (at ἐς μόθον Pl^{b}, temere: cfr. Nonn. Dionys. XIV 274, XX 280); schol.^{w} ἢ γραπτέον ἀντὶ τοῦ ἀλλ', adpositum ad v. 121, ad v. 120 spectare, οὐ pro ἀλλ' reponendum esse vidit Jac. | ἐντύνων P Pl, ἐντείνων cod. B in schol. ad Aristid. or. 46 vol. III p. 439 Dind. (cfr. Sternb. Mel. 9) ‖ 16 l. εἰσ ἄγ. τοῦ φιλόσοφου (sic) πυθαγορ̄ (i. e. πυθαγόρα) A | πυθαγόρασ A, corr. Pl 17 φύσισ Pl (verba φύσισ — χαλκοῦ parenthetice Pl^{w})

πλημύρων νοερῇσι μεληδόσιν· ὡς γὰρ ὀίω,
οὐρανὸν ἀχράντοισιν ἐμέτρεε μοῦνον ὀπωπαῖς.
Στησίχορον δ' ἐνόησα λιγύθροον, ὅν ποτε γαῖα
Σικελίη μὲν ἔφερβε, λύρης δ' ἐδίδαξεν Ἀπόλλων
ἁρμονίην ἔτι μητρὸς ἐνὶ σπλάγχνοισιν ἐόντα.
τοῦ γὰρ τικτομένοιο καὶ ἐς φάος ἄρτι μολόντος
ἔκποθεν ἠερόφοιτος ἐπὶ στομάτεσσιν ἀηδὼν
λάθρῃ ἐφεζομένη λιγυρὴν ἀνεβάλλετο μολπήν.
Χαῖρέ μοι Ἀβδήρων, Δημόκριτε, κῦδος ἀρούρης,
ὅττι σὺ καλλιτόκοιο φυῆς ἐφράσσαο θεσμούς,
λεπτὰ διακρίνων πολυΐδμονος ὄργια Μούσης.
αἰεὶ δὲ σφαλερὰς ἐγέλας βιότοιο κελεύθους,
εὖ εἰδὼς ὅτι πάντα γέρων παραμείβεται αἰών.
Ἡρακλέης δ' ἀνίουλον ἐδείκνυε κύκλον ὑπήνης
μῆλα λεοντοφόνῳ παλάμῃ χρύσεια κομίζων,
γαίης ὄλβια δῶρα Λιβυστίδος. Ἐγγύθι δ' αὐτοῦ
Παλλάδος ἀρήτειρα παρίστατο παρθένος Αὔγη,
φᾶρος ἐπιστείλασα κατωμαδόν· οὐ γὰρ ἐθείρας
κρηδέμνῳ συνέεργεν· ἐὰς δ' ἀνετείνετο χεῖρας,
οἷά τε κικλήσκουσα Διὸς γλαυκώπιδα κούρην,

---

1 πλημμύρων Pl 2 noli corr. ἐμέτρεεν αἰπὺν | ὀπωπαῖσ ex ὀπωπάσ P || 3 εἰς ἄγ. στη|σιχόρου A | γαῖα A Pl (μαῖα?); παῖδα Baumgarten, fort. recte 4 Σικελικὴ Hecker | δ' ἐ'δίδαξεν (duplici spir.) A 5 ἁρμονίην A | σπλάχνοισιν Pl^{I} | ἐόντα A 6 τικτομένοι (sic) et μολοῦντος A, corr. Pl | εἰς φάος? 7 ἐκποθὲν A | ἠερόφοιτος Pl^{M} ἠερόφοιτος A ἱερόφοιτος Pl^{E} 8 λάθρῃ v. ad 38, 7 || 9 l. εἰς ἄγ. δη|μοκρίτου φιλο|σόφου A | αὐδήρων Pl^{M} 12 ἐγέλαισ A, corr. Pl 13 γέρων A^{s}: cfr. Nonn. Di. XXIV 267, ne ῥέων restituas ex N. Di. III 256 || 14 εἰσ ⌜το⌝ ἄγ. ἡρακλέουσ A | ἡρακλέησ: ε ex η corr. Pl^{M} 15 χρύσεια om. A, supra lin. add. C, idem γρ. χρύσεια κομίζων in fine v. adnotavit 16 λιβύτιδος P Pl^{M}, corr. Pl^{s} || 17 εἰσ ἄγ. τ⌜ησ⌝ αὐγ⌜ησ⌝ A; adscripsit C m^{e}: ἕωσ $\overset{\delta}{\omega}$ ⁄ (= ἕως ὧδε ἀντεβλήθη, cfr. praef. de corr.) | αὐγή A Αὔγη Pl 18 οὐδ' ἄρ' Br.; non praeferam αὐτὰρ | ἐθειρ⌊ασ⌋ P ἐθείραισ A^{ar} 20 χείρασ

Ἀρκαδικῆς Τεγέης ὑπὸ δειράδος. Ἴλαθι γαίης
Τρωϊάδος βλάστημα σακεσπάλον, ἵλαθι λάμπων
Αἰνεία Τρώων βουληφόρε· σαῖς γὰρ ὀπωπαῖς
ἀγλαΐης πνείουσα σοφὴ περιλείβεται αἰδώς,
θέσκελον ἀγγέλλουσα γένος χρυσῆς Ἀφροδίτης.
Ἠγασάμην δὲ Κρέουσαν ἰδὼν πενθήμονι κόσμῳ,
σύγγαμον Αἰνείαο, κατάσκιον· ἀμφὶ γὰρ αὐταῖς
ἀμφοτέραις κρήδεμνον ἐφελκύσσασα παρειαῖς
πάντα πέριξ ἐκάλυψε ποδηνεκέι χρόα πέπλῳ,
οἷά τε μυρομένη· τὰ δὲ χάλκεα δάκρυα νύμφης
Ἄρεϊ δουρίκτητον ἐμαντεύοντο τιθήνην,
Ἴλιον Ἀργείοισιν ἐελμένον ἀσπιδιώταις.
Οὔθ' Ἕλενος κοτέων ἀπεπαύετο· πατρὶ δὲ νηλὴς
φαίνετο δινεύων ἔτι που χόλον. ἦν μὲν ἀείρων
δεξιτερῇ φιάλην ἐπιλοίβιον· ὡς δοκέω δέ,
ἐσθλὰ μὲν Ἀργείοις μαντεύετο, κἀδ δὲ τιθήνης
ἀθανάτοις ἠρᾶτο πανύστατα σήματα φαίνειν.
Ἀνδρομάχη δ' ἔστηκε, ροδόσφυρος Ἠετιώνη,
οὔτι γόον σταλάουσα πολύστονον· ὡς γὰρ ὀίω,
οὔπω ἐνὶ πτολέμῳ κορυθαίολος ἤριπεν Ἕκτωρ,
οὐδὲ φερεσσακέων ὑπερήνορες υἷες Ἀχαιῶν
Δαρδανίην ξύμπασαν ἐληίσσαντο τιθήνην.

---

1 ἀρκαδικ̄ης P | δειράδας Pl || 1 et 2 ἵλαθι (ut adsolet) A 2 εἰς ἄγ. αἰνείου A | λάμπο ν (nulla ras.) A, corr. Pl 4 ne tent. ἀγλαίην 5 χρυσέης? || 6 εἰσ ἄγ. κρεούσησ A 7 αὐ ταῖσ A αὔαις Boiss.; ἀβραῖς? 8 ἀφελκύσασα A ἐφελκύσασα Pl, corr. Dübn. || 13—17 aptius legerentur post v. 191 13 l. εἰσ ἄγ. ἑλένου A | οὐ θ' έλενοσ A; fort. οὐδ' Ἕλενος | ἀπεπαύετο P Pl | π∗ατρὶ δε P πρατρὶ δε A^{ar}, π̄ρὶ δὲ Pl^{M} πατρίδι Boiss. 14 ἔτί που A 15 ἐπιλείβιον Pl^{I} 16 ἀργείοισ μαντεύετο P: sed μ ex ι corr., ἀργείοισι A^{ac}; malim Ἀργείοισιν ἐπεύχετο | καδδετι θήνησ A 17 ἠρᾶτο A | πήματα Heck. | φαίνων A^{ac} || 18 l. εἰσ ἄγ. ἀνδρομαχ⌜ησ⌝ A 20 κορυθαιόλοσ A, acc. corr. Pl 22 ἐληΐσαντο (η facto ex ι et accentu del. supra η) A, ἐληίσσαντο Pl ||

Ἦν δ' ἐσιδεῖν Μενέλαον ἀρήιον, ἀλλ' ἐπὶ νίκῃ
γηθόσυνον· σχεδόθεν γὰρ ἐθάλπετο χάρματι πολλῷ
δερκόμενος ῥοδόπηχυν ὁμόφρονα Τυνδαρεώνην.
Ἠγασάμην δ' Ἑλένης ἐρατὸν τύπον, ὅττι καὶ αὐτῷ
χαλκῷ κόσμον ἔδωκε πανίμερον· ἀγλαΐῃ γὰρ
ἔπνεε θερμὸν ἔρωτα καὶ ἀψύχῳ ἐνὶ τέχνῃ.
Πυκναῖς δὲ πραπίδεσσιν ἀγάλλετο δῖος Ὀδυσσεύς·
οὐ γὰρ ἔην ἀπάνευθε πολυστρέπτοιο μενοινῆς,
ἀλλ' ἔτι κόσμον ἔφαινε σοφῆς φρενός· ἦν δ' ἐνὶ θυμῷ
καγχαλόων· Τροίην γὰρ ἐγήθεε πᾶσαν ὀλέσσας
ᾗσι δολοφροσύνῃσι. Σὺ δ' Ἕκτορος, ἔννεπε, μῆτερ,
τίς σέ, πολυτλήμων Ἑκάβη, τίς δάκρυα λείβειν
ἀθανάτων ἐδίδαξεν ἀφωνήτῳ ἐνὶ κόσμῳ;
οὐδέ σε χαλκὸς ἔπαυσεν ὀιζύος, οὐδέ σε τέχνη
ἄπνοος οἰκτείρασα δυσαλθέος ἔσχεθε λύσσης·
ἀλλ' ἔτι δακρυχέουσα παρίστασαι· ὡς δὲ δοκεύω,
οὐκέτι δυστήνου μόρον Ἕκτορος οὐδὲ ταλαίνης
Ἀνδρομάχης βαρὺ πένθος ὀδύρεαι, ἀλλὰ πεσοῦσαν
πατρίδα σήν· φᾶρος γὰρ ἐπικρεμὲς ἀμφὶ προσώπῳ
πήματα μὲν δείκνυσιν, ἀπαγγέλλουσι δὲ πέπλοι
πένθος ὑποβρύχιον κεχαλασμένοι ἄχρι πεδίλων.
ἄλγεϊ γὰρ πυμάτῳ δέδεσαι φρένα, κἀδ δὲ παρειῆς M 60r

---

1 l. εἰσ ἄγ. μενελ A | 2—3 malim verba ita transponi: σχεδόθεν γὰρ ὁμόφρονα Τυνδαρεώνην | δερκόμενος ῥοδόπηχυν ἐθάλπετο χάρ. π. ‖ 4 l. εἰσ ἄγ. ἑλέν⌜ησ⌝ A 5 ἀγλαΐης? cfr. v. 223 6 τέχνη A ‖ 7 l. εἰσ ἄγ. ὀδυσ⌜σέωσ A | πυκιναῖσ Pl1 10 ἐγέγηθεν (punctum vix delendae litt. ν causa positum) A, corr. Pl | ὀλέσας Pl1.a ‖ 11 l. εἰσ ἄγ. ἑκάβ⌜ησ⌝ A τησ γυναικὸσ πριαμ⌜ου⌝ add. L; idem ad v. 181 adnotavit μητρὸς δὲ ἕκτοροσ | μήτηρ Pl1 12 ἑκάβη· τίσ δάκρυα A; Ἑκάβη τόσα δάκρυα Pl, quod fort. praeferas propter sensum ac numeros, sed cfr. v. 193 15 ἄπνοον Boiss. | δυσαλθέοσ (accentu supra α expuncto) A δυσαλγέοσ Pl 16 δάκρυ χέουσα A 17 ἕκτοροσ (ut l. 11) A 18 πεσοῦσα A, corr. Pl 22 καδδε A κἀδ δὲ Pl^{M}

δάκρυα μὲν σταλάεις· τὸ δὲ δάκρυον ἔσβεσε τέχνη,
ἄπλετον ἀγγέλλουσα δυσαλθέος αὐχμὸν ἀνίης.
Κασάνδρην δ' ἐνόησα θεοπρόπον, ἀλλ' ἐνὶ σιγῇ
μεμφομένη γενετῆρα σοφῆς ἀνεπίμπλατο λύσσης,
οἷά τε θεσπίζουσα πανύστατα πήματα πάτρης.
Πύρρος δ' ἄλλος ἦην πτολιπόρθιος, οὐκ ἐπὶ χαίτης
ἱππόκομον τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων·
ἀλλ' ἄρα γυμνὸς ἔλαμπε, καὶ ἄχνοον εἶχεν ὑπήνην·
δεξιτερὴν δ' ἀνέτεινεν ἐὴν ἐπιμάρτυρα νίκης,
λοξὰ Πολυξείνην βαρυδάκρυον ὄμματι λεύσσων.
Εἰπέ, Πολυξείνη δυσπάρθενε, τίς τοι ἀνάγκη
χαλκῷ ἐν ἀφθόγγῳ κεκρυμμένα δάκρυα λείβειν;
πῶς δὲ τεῷ κρήδεμνον ἐπειρύσσασα προσώπῳ
P 70 ἵστασαι, αἰδομένη μὲν ἀλίγκιος, ἀλλ' ἐνὶ θυμῷ
πένθος ἔχεις; μὴ δή σε, τεὸν πτολίεθρον ὀλέσσας,
λῃίδα Πύρρος ἔχῃ Φθιώτιος; οὐδέ σε μορφὴ
ῥύσατο τοξεύσασα Νεοπτολέμοιο μενοινήν,
ἥ ποτε θηρεύσασα τεοῦ γενετῆρα φονῆος
εἰς λίνον αὐτοκέλευστον ἀελπέος ἦγεν ὀλέθρου.
ναὶ μὰ τὸν ἐν χαλκῷ νοερὸν τύπον, εἴ νύ σε τοίην

---

3 *εἰσ ἄγ. τῆσ κα|σάνδρασ* (supra *κα* erasum est signum litterae *ν*) A | *Κασσάνδρην* Pl^{1} 4 *γενετῆρι*? cfr. Nonn. D. 24, 278 | *ἀνεπίπλατο* A (idem Pl^{i}): *μ* supra *ί* add. C 5 *πήγματα* Pl$^{i.s}$ ‖ 6 l. *εἰσ ἄγ. ἑτέρου|πύρρου* A | *πῦρροσ* (ut l. 16; p. 47, 1) A 7 *ἱππoκόμον* A Pl, em. Br. 9 *ἐὴν* om. A, add. Pl 10 *ὄμμασι* Pl | *λεύσων* ex more A ‖ 11 l. *εἰσ ἄγ. πολυ|ξένησ* A p. 69, *εἰσ το ἀγαλμα πολυξεν⌜ησ⌝|τησ αδελφῆσ ἕκτοροσ* L p. 70 | *εἰπὲ* correctum ex *εἰπὲ δὲ* Pl^{M} 13 *ἐπειρύσασα* A *ἐπειρύσσασα* Pl (alterum *σ* post *υ* rubro appinxit Pl^{M}) 14 *αἰδομένη* A^{ac} *αἰδομένηι* P^{pc} 15 *μη δή* A *μη, δή* Pl^{M} 16 *ἔχει* A Pl, corr. Bothe | *φθιώτ⌞ιο⌟σ* C: *φθιώτησ* A^{ar} per numeros vix ferendum 18—19 notulam *ταυτ⌜ησ⌝ ηράσθη ἀχιλλεύσ|διὸ καὶ επι τ⌜ω⌝ τάφω αὐ|εσφαγίασαν αυτην|ελληνεσ εν τ⌜ω⌝ αποπλ⌜ω⌝* adscripsit Lm^{e} 18 *ἤ ποτὲ* A Pl^{1} | *γενετῆρασ* (factum ex *γενετῆροσ*) P, corr. Pl 20 *ματὸν* et *εἰνύ* A | frustra tentares *νεαρὸν* vel *θαλερὸν τύπον*

ἔδρακε Πύρρος ἄναξ, τάχα κεν ξυνήονα λέκτρων
ἤγετο, πατρῴης προλιπὼν μνημήια μοίρης.
Ἠγασάμην δ' Αἴαντα, τὸν ὀβριμόθυμος Ὀιλεὺς
Λοκρίδος ἐσπέρμηνε πελώριον ἔρκος ἀρούρης. 210
φαίνετο μὲν νεότητι κεκασμένος· οὐδὲ γὰρ ἦεν
ἄνθεϊ λαχνήεντι γενειάδος ἄκρα χαράξας.
γυμνὸν δ' εἶχεν ἅπαν στιβαρὸν δέμας· ἠνορέῃ δὲ
βεβριθὼς ἐλέλιξε μαχήμονος οἶστρον Ἐνυοῦς.
Οἰνώνη δὲ χόλῳ φρένας ἔζεεν, ἔζεε πικρῷ 215
ζήλῳ θυμὸν ἔδουσα, Πάριν δ' ἐδόκευε λαθοῦσα
ὄμματι μαινομένῳ· κρυφίην δ' ἤγγειλεν ἀπειλήν,
δεξιτερῇ βαρύποτμον ἀναινομένη παρακοίτην.
Αἰδομένῳ μὲν ἔοικεν ὁ βουκόλος· εἶχε δ' ὀπωπὴν
πλαζομένην ἐτέρωσε δυσίμερος· αἴδετο γάρ που 220
Οἰνώνην βαρύδακρυν ἰδεῖν, Κεβρηνίδα νύμφην.
Αὐαλέῳ δὲ ⟨Δάρης ἐξώννυτο χεῖρας ἱμάντι,
πυγμαχίης κήρυκα φέρων χόλον· ἠνορέης δὲ
ἔπνεε θερμὸν ἄημα πολυστρέπτοισιν ὀπωπαῖς.
Ἔντελλος δὲ⟩ Δάρητος ἐναντίον ὄμμα τιταίνων
γυιοτόρους μύρμηκας ἐμαίνετο χερσὶν ἑλίσσων· 226
πυγμαχίης δ' ὤδινε φόνου διψῶσαν ἀπειλήν.

---

1 ταχάκεν A τάχάκεν Pl^{M} | ξυνήϊον A ξυνήονα Pl ‖ 3 l. εἰσ ἄγ. τοῦ μικροῦ|αἴαντ⌜οσ⌝ A του λοκρου add. L | ὀβρίθυμο⌊σ⌋ P ὀβρίθυμον A^{ar}, corr. Pl 4 ἐσπέρμεινε A ἐσπέρμηνε Pl | πελώριον A et Pl^{M}; πελώριος Pl^{E} ‖ 9—12 quattuor versus post v. 221 reiciunt Pl^{E} male: at iustus qui est in P versuum ordo servatur in Pl^{M} 9 l. εἰσ ἄγ. τ⌜ησ⌝ οἰνών⌜ησ⌝ A γυναικ⌜οσ⌝ αλεξανδρου|του πάριδοσ add. L 10 ἐδόκευε Heck., ἐκέλευε A Pl 11 ἤγγελλεν? 12 post δεξ. distinx. Pl^{M} ‖ 13 εἰσ ἄγ. ἀλεξαν^{δ} A | δ' ὁ πωπήν (ut 50, 6. 18) A ‖ 16 post v. 221 interponunt Pl^{E} v. 228—240; cum A congruit Pl^{M} | l. εἰσ ἄγ. τοῦ πυγμά|χου δάρητ⌜οσ⌝ A | α⌊ὐ⌋αλέωι (υ in eraso ν, non ξ) A 16—19 verba Δάρης—Ἔντελλος δὲ om. A, serv. Pl 19 l. εἰς Ἔντελλον Pl 20 γυιοτύρουσ A, corr. Pl 21 φόνον A φόνου Pl (ex φόβου corr. Pl^{M}) | διψόωσαν A διψῶσαν Pl (διχῶσαν Pl^{I}; an φόνον διφῶσαν?) ‖

Ἦν δὲ παλαισμοσύνην δεδαημένος ὄβριμος ἀνήρ —
εἰ δὲ Φίλων ἤκουε πελώριος, εἴτε Φιλάμμων,
εἴτε Μίλων, Σικελῆς ἔρυμα χθονός, οἷδεν Ἀπόλλων·
οὐ γὰρ ἐγὼ δεδάηκα διακρῖναι καὶ ἀεῖσαι
οὔνομα θαρσαλέου κλυτὸν ἀνέρος· ἀλλὰ καὶ ἔμπης
ἔπνεεν ἠνορέης· λάσιος δέ οἱ εἴλκετο πώγων,
καὶ φόβον ἠκόντιζον ἀεθλητῆρα παρειαί,
καὶ κεφαλῆς ἔφρισσον ἐθειράδες· ἀμφὶ δὲ πυκνοῖς
P 71 *μυῶνες μελέεσσιν ἀνοιδαίνοντο ταθέντες*
τρηχαλέοι· δοιοὶ δέ, συνισταμένων παλαμάων,
εὐρέες ἐσφήκωντο βραχίονες, ἠύτε πέτραι,
καὶ παχὺς ἀλκήεντι τένων ἐπανίστατο νώτῳ,
αὐχένος εὐγνάμπτοιο περὶ πλατὺν αὐλὸν ἀνέρπων.
Δέρκεό μοι Χαρίδημον, ὃς Ἀθηίδος ἡγεμονεύων
Κεκροπίδην στρατὸν εἶχεν ἐῆς πειθήμονα βουλῆς.
Ἦ κεν ἰδὼν ἀγάσαιο Μελάμποδα· μαντιπόλου μὲν
ἱερὸν εἶδος ἔφαινεν· ἔοικε δὲ θέσπιδος ὀμφῆς
σιγηλοῖς στομάτεσσι θεοπρόπον ἆσθμα τιταίνων.

---

1 l. *εἰσ ἄγ. τοῦ ἀθλη|τοῦ φίλωνοσ* A *μαλλ⌜ον⌝ | δε μιλωνοσ τ⌜ου⌝ κρο|τωνιάτου* add. L; *εἰς Μίλωνα* Pl (praeter Pl^{I}) | versum 228 adiunxit A Entelli descriptioni: est enim clausula non post *ἀπειλήν* (p. 47, 21), sed post *ἀνήρ* (48, 1), notula init. ante *εἰ δὲ* (2) et lm. scriptum ad v. 229 | *ἦν δὲ* A *Ἦ ν δὲ* ex *Ἦ ἦν δὲ* Pl^{M} *Η δὲ* Pl^{E} 2 *φιλάμων* A (Pl^{I}), alterum *μ* supra add. C 3 *σικ⌊ελ⌋ῆσ* P *Ἰταλῆς* mavult Herw. 4 fort. *ἀῦσαι* (cfr. Od. *ι* 65) 6 *ἠνορέησ* A *ἠνορέην* Pl 7 *χόλον* 9 *μυιῶνεσ* A, corr. Pl 10 *συνίσταμένων* A 11 *ἐσφηκῶντο* A Pl^{M} Pl$^{a.s}$ Jac. Dübn., *ἐσφήκωντο* Pl^{I} | *ἠύτε* A 12 *ἀλκή εν τι τ⌊έ⌋νων* C *ἀλκή εν τι ταίνων* A^{ar} 13 *ἐν γναπτοῖο* (sic) A *εὐγνάμπτοιο* Pl | *ἐνέρπων* Pl^{I} (Pl^{a} in textu, sed *ἐν ἄλλῳ αὐλὸν ἀνέρπων γρ.* Pl^{a} in *ἐπιθ.*) || 14 l. *εἰσ ἄγ. χαρι|δήμου*: A m^{e} 15 *ἐῆσ* (circ. et acc. incertum, non *ι* supra *η* A; spir. refecit C) — *βουλῆσ* P Pl, *ἐῆς — βουλῆς* Br. || 16 l. *εἰς ἄγ. τοῦ μα⌜ν⌝|τεωσ μελάμποδ* A | *ἦκεν* A | *μαντιπόλον* Pl 17 *δὲ* om. A, supra l. inseruit C 18 fort. *σιγαλέοις* (cfr. v. 71) | *ἄσθματι ταίνων* A *ἆσθμα τιταίνειν* Pl ||

Πάνθοος ἦν Τρώων βουληφόρος, ἀλλ' ἔτι δεινὴν
οὔπω μῆτιν ἔπαυσε κατ' Ἀργείων στρατιάων.

Δημογέρων δὲ νόημα πολύπλοκον εἶχε Θυμοίτης,
ἀμφασίης πελάγεσσιν ἐελμένος· ἦ γὰρ ἐῴκει
σκεπτομένῳ τινὰ μῆτιν ἔτι Τρώεσσιν ὑφαίνειν.

Λάμπων δ' ἀχνυμένῳ ἐναλίγκιος ἦεν ἰδέσθαι·
οὐ γὰρ ἔτι φρεσὶν εἶχε κυλινδομένοιο κυδοιμοῦ
τειρομένοις Τρώεσσι τεκεῖν παιήονα βουλήν.

Εἵστήκει Κλυτίος μὲν ἀμήχανος· εἶχε δὲ δοιὰς
χεῖρας ὁμοπλεκέας, κρυφίης κήρυκας ἀνίης.

Χαῖρε, φάος ῥήτρης, Ἰσόκρατες, ὅττι σὺ χαλκῷ
κόσμον ἄγεις· δοκέεις γὰρ ἐπίφρονα μήδεα φαίνειν,
εἰ καὶ ἀφωνήτῳ σε πόνῳ χαλκεύσατο τέχνη. M 60v

Ἕστενε δ' Ἀμφιάρηος ἔχων περιλαμπέα χαίτην
στέμματι δαφναίῳ· κρυφίην δ' ἐλέλιξεν ἀνίην,
θεσπίζων ὅτι πᾶσι βοόκτιτος † ἀνδράσι Θήβη
ἀνδράσιν Ἀργείοισιν ὑπότροπον ἦμαρ ὀλέσσει.

Ἀγλαὸς εἵστήκει χρησμηγόρος, ὅντινά φασι

---

1 εἰς ἄγ. τοῦ|πάνθου A | displicet ἔτι ante οὔπω: ἀλλ' ἀλεγεινὴν vel ἐριδαίνειν? 2 καταργειάων A, corr. Pl ‖ 3 εἰς ἄγ. τοῦ|Θυμοίτου A 4 παγίδεσσιν? 5 fort. τίνα — ὑφαίνοι | ἐνὶ Τρ. Heyne ‖ 6—8 scripti sunt post 258, sed litteris ᾱ ad v. 251, β̄ ad v. 254, γ̄ ad 256, δ̄ ad 259 adpositis errorem corr. A | 6 ᾱ εἰσ ἄγ. τοῦ λάμπων⌜οσ⌝ A | δ' ἀχνυμένω A 7 εἶχεν A εἶχε Pl ‖ 9 εἰσ ἄγ. τοῦ | κλυτίου (praefixa littera β̄, cfr. ad 6—8) A | ἐστήκει A εἵστήκει Pl | κλύτιος Pl | εἶχε δε (sic, errant edit.) A ‖ 11 γ̄ εἰσ ἄγ. τοῦ|ῥήτορ⌜οσ⌝ ἰσοκρᾶ̄ A 13 ἀφώνητον FG. Schmidt | an τύπῳ? ‖ 14 δ̄ εἰσ ἄγ. τοῦ μά⌜ν⌝|τεωσ ἀμφιαρ⌜ου⌝ (sic) A | περιλαμπέα (non πυριλ.) A Pl 16 βιόκτιτοσ P^{pc}: βοόκτιτοσ A^{ac} (ci. Graefe); λυρόκτιτοσ Pl: sed λϋ ex βϊ mut. Pl^{M} | ἀνδράσι aut ἀνδράσιν (17) corruptum; fort. βοόκτιτος Ἄοσι, cfr. Paus. IX 5, 2: τοῖς μὲν οὖν Ἄοσι κατὰ κώμας ἔτι ἦσαν αἱ οἰκήσεις, Κάδμος δὲ τὴν πόλιν — ᾤκισεν 17 ὑπότρομον A, corr. Pl | ἦμαρ ut saepe A ‖ 18 εἰσ ἄγ. τοῦ μά⌜ν⌝|τεωσ ἀγλαοῦ A εἰς om. nomine Pl^{M} |

μαντιπόλου γενετῆρα θεοφραδέος Πολυείδου·
εὐπετάλῳ δὲ κόμας ἐστεμμένος ἔπρεπε δάφνῃ.
Εἶδον ἀκερσεκόμην ἕκατον θεόν, εἶδον ἀοιδῆς
κοίρανον, ἀδμήτοισι κεκασμένον ἄνθεσι χαίτης·
εἶχε γὰρ ἀμφοτέροισι κόμης μεμερισμένον ὤμοις
P 72 βόστρυχον αὐτοέλικτον· ἔλισσε δὲ μάντιν ὀπωπήν,
οἷά τε μαντοσύνῃ μεροπήια πήματα λύων.
Γυμνὸς δ' ὀβριμόθυμος ἔην Τελαμώνιος Αἴας,
μήπω πρῶτον ἴουλον ἔχων· ἐκέκαστο δὲ μορφῆς
ἄνθεσι πατρῴης· πλοκάμους δ' ἐσφίγγετο μίτρῃ·
οὐ γὰρ ἔην τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων,
οὐ σάκος ἑπταβόειον ἐπωμαδόν, ἀλλὰ τοκῆος
θαρσαλέην ἀνέφαινεν ἀγηνορίην Τελαμῶνος.
Ἵστατο Σαρπηδών, Λυκίων πρόμος· ἠνορέῃ μὲν
φρικτὸς ἔην· ἀπαλοῖς δὲ νεοτρεφέεσσιν ἰούλοις
οἴνοπος ἄκρα χάρασσε γενειάδος· ἀμφὶ δὲ χαίταις
εἶχε κόρυν· γυμνὸς μὲν ἔην δέμας, ἀλλ' ἐνὶ μορφῇ
σπέρμα Διὸς σήμαινεν· ἀπ' ἀμφοτέρης γὰρ ὀπωπῆς
μαρμαρυγὴν ἀπέπεμπεν ἐλευθερίου γενετῆρος.
Καὶ τρίτος εὐχαίτης τριποδηλάλος ἦεν Ἀπόλλων,

Ἄγλαος Jac. | ἑστήκει A ἕστηκει (hic et v. 361, ceteroqui εἱστήκει) Pl | χρησμολόγος Pl | ὄιτινα A | φασὶν A et Pl^{M} φασὶ Pl^{E}
1 μαντιπόλον A, genet. Pl | πολυΐδου A^{ac} Pl 2 δάφνη A || 3 εἰσ ἄγ. τοῦ ἀπόλλων⌜οσ⌝ A | ἀκειρεκόμην Pl 4 ἀδμήτοισι (acuto ex circ. facto) A ἀτμήτοισι Pl (ἀτ ex ἦτ Pl^{M}) | χαίτην A Pl, em. Br. 5 ἀμφοτέροις κώμης Pl^{I} 7 πήματα (non πλήματα) A || 8 εἰσ ἄγ. τοῦ μεγαλ|αϊαντ⌜οσ⌝ A τ⌜ρυ⌝ τελα|μωνιάδ⌜ου⌝ του εκ|σαλαμινοσ add. L | ὁ βριμόθυμοσ A 10 δ' add. Pl, om. P 13 ἀνέφαινε ἀγηρονίην A, corr. Pl ‖ 14 εἰσ ἄγ. σαρ|πηδόνοσ A τ⌜ου⌝ λυκίου | δσ ηλθεν εν τροίαι | μετα γλαύκου add. L 15 νεοτρεφέεσσιν P eraso acc. supra εσ 16 οἰνοπὸσ A acutum supra ι add. C | χαίτασ A χαίταισ P^{pc} Pl 19 μαρμαρυγὴ⌊ν⌋ P (η ex ι corr.) | ἀνέπεμπεν Pl (hic, at ἀπέπεμπεν v. 294 Pl^{M} Pl^{E}, errant ed.) ‖ 20 εἰσ ἄγ. ἑτέ|ρου ἀπόλλων⌜οσ⌝ A | τριποδήλαλοσ A τριποδίλαλος Pl^{M} Pl^{I} τριποδιλάλοσ Pl^{a} (τρίποδι λάλος hic ut v. 72 Pl^{w})

καλὸς ἰδεῖν· πλόκαμος γὰρ ἕλιξ ἐπιδέδρομεν ὤμοις
ἀμφοτέροις· ἐρατὴ δὲ θεοῦ διεφαίνετο μορφή,
χαλκῷ κόσμον ἄγουσα· θεὸς δ' ἐτίταινεν ὀπωπήν,
οἷά τε μαντιπόλοισιν ἐπὶ τριπόδεσσι δοκεύων.
Καὶ τριτάτην θάμβησα πάλιν χρυσῆν Ἀφροδίτην,
φάρεϊ κόλπον ἔχουσαν ἐπίσκιον· ἀμφὶ δὲ μαζοῖς
κεστὸς ἕλιξ κεχάλαστο, χάρις δ' ἐνενήχετο κεστῷ.
Αἰχμητὴς δ' ἀνίουλος ἐλάμπετο δῖος Ἀχιλλεύς,
γυμνὸς ἐὼν σακέων· ἐδόκευε μὲν ἔγχος ἑλίσσειν
δεξιτερῇ, σκαιῇ δὲ σάκος χάλκειον ἀείρειν,
σχήματι τεχνήεντι· μόθου δ' ἀπέπεμπεν ἀπειλὴν
θάρσεϊ τολμήεντι τεθηγμένος· αἱ γὰρ ὀπωπαὶ
γνήσιον ἦθος ἔφαινον ἀρήιον Αἰακιδάων.
Ἦν δὲ καὶ Ἑρμείας χρυσόρραπις· ἱστάμενος δὲ
δεξιτερῇ πτερόεντος ἀνείρυε δεσμὰ πεδίλου,
εἰς ὁδὸν ἀΐξαι λελιημένος· εἶχε γὰρ ἤδη
δεξιὸν ὀκλάζοντα θοὸν πόδα, τῷ ἔπι λαιὴν
χεῖρα ταθεὶς ἀνέπεμπεν ἐς αἰθέρα κύκλον ὀπωπῆς,
οἷά τε πατρὸς ἄνακτος ἐπιτρωπῶντος ἀκούων.
Καὶ νοερῆς ἄφθεγκτα Λατινίδος ὄργια Μούσης

---

1 ἕλιξ (ut l. 7) A 2 ἀργυφέοις malim cl. Nonn. D. X 182, XVIII 350; at non sollicitandum est ἀμφοτέροισι v. 268 ante μεμερισμένον 4 ⌊οἷ⌋ά P | fort. νομεύων ‖ 5 εἰσ ἄγ. ἑτέρ⌜ασ⌝ | ἀφροδίτησ A εἰς Ἀφροδίτην Pl^{M} εἰς Κύπριν Pl^{E} | θάμβησα: θ corr. ex π A (qui ad πάλιν aberraverat) | χρυσὴν A: χρυσέην? 7 κεστῷ non interpretamenti speciem praebet, nec malim θέλκτωρ aut πολλὴ reponere ‖ 8 εἰσ ἄγ. τοῦ|ἀχιλλέωσ A 9 σαγέων Boiss. 11 ἀσπειλήν A^{ac} 12 οὐ γὰρ A αἱ γὰρ Pl ‖ 14 εἰσ ἄγ. | τοῦ ἑρμοῦ (ut 58, 9) A | Ἑρμείησ Pl 16 ἀΐξαι A Pl 17 ἐπιλαιήν A ἔπι λ. Pl 18 ταθεὶ σαν (acc. ambiguus) ἔπεμπεν A ταθεῖσαν ἔπ. Pl, corr. Br.; nec καθεὶς nec τιθεὶς pro ταθεὶς reponendum 19 ἐπιτροπόωντοσ Pl, sed ἐπιτρεπόωντοσ Pl^{1} ‖ 20 εἰσ ἄγ. τοῦ| ἀπολῆΐου (ἀπολήιου A^{ar}) P; εἰς ἀπουλήιον add. rubrica, τ⌜ὸν⌝ μάγον atramento Pl^{M}, εἰς Ἀπυλήιον τὸν μ. Pl^{E} | λατίνιδοσ A

ἄξεο παπταίνων Ἀπολήιον, ὄντινα μύστην
Αὐσονὶς ἀρρήτου σοφίης ἐθρέψατο Σειρήν.
Φοίβου δ' οὐρεσίφοιτος ὁμόγνιος ἵστατο κούρη
Ἄρτεμις, ἀλλ' οὐ τόξον ἑκηβόλον οὐδὲ φαρέτρην
ἰοδόκην ἀνέχουσα κατωμαδόν· ἦν δ' ἐπὶ γούνων
παρθένιον λεγνωτὸν ἀναζωσθεῖσα χιτῶνα
καὶ τριχὸς ἀκρήδεμνον ἀνιεμένη πλόκον αὔραις.
Ἔμφρονα χαλκὸν Ὅμηρος ἐδείκνυεν, οὔτε μενοινῆς
ἄμμορον, οὔτε νόου κεχρημένον, ἀλλ' ἄρα μούνης
φωνῆς ἀμβροσίης, ἀνέφαινε δὲ θυιάδα τέχνην.
ἦ καὶ χαλκὸν ἔχευεν ὁμῆ θεὸς εἴδεϊ μορφῆς·
οὐ γὰρ ἐγὼ κατὰ θυμὸν ὀίομαι, ὅττι μιν ἀνὴρ
ἐργοπόνος χάλκευσε παρ' ἐσχαρεῶνι θαάσσων·
ἀλλ' αὐτὴ πολύμητις ἀνέπλασε χερσὶν Ἀθήνη,
εἶδος ἐπισταμένη τόπερ ᾤκεεν· ἐν γὰρ Ὁμήρῳ
αὐτὴ ναιετάουσα σοφὴν ἐφθέγγετο μολπήν.
σύννομος Ἀπόλλωνι, πατὴρ ἐμός, ἰσόθεος φώς,
ἵστατο θεῖος Ὅμηρος. ἔικτο μὲν ἀνδρὶ νοῆσαι
γηραλέῳ τὸ δὲ γῆρας ἔην γλυκύ· τοῦτο γὰρ αὐτῷ
πλειοτέρην ἔσταξε χάριν· κεκέραστο δὲ κόσμῳ

---

1 ἄξετο A, scripsi ἄξεο | ἀπολήϊοσ P: ἀπ. A^{ac}, ἀπυλήϊοσ Pl, correxi 2 αὐσονισ A αὐσονὶ⌞σ⌟ (ισ in eraso ιην?) Pl^{M} | ἀνεθρέψατο Pl || 3 εἰσ ἄγ. τῆσ|ἀρτέμιδοσ A | ὁμόγνιοσ et ἑκηβόλον (4) A 5 ἰοδόκον Pl, sed ἰοδόκην Pl^{I} cum A | κατέχουσα Pl 7 ἀνειεμένη (sed litt. ε ante μ serius addita) A, ἀνιεμένη Pl | πλοκάμου A, corr. Pl || 8 εἰσ ἄγ.|ὅμήρου A | χαλκὸσ Ὅμηρον temere Br. 10 θυάδα Pl 11 ἦ῝ A ἦ Pl^{M} Pl$^{I.a}$ *H* P^{Is} | ὁ μη θέοσ A ὁμὴ θεὸς (cum interpretamento ὁμοία supra ὁμὴ) Pl^{M} ὁμοῦ θεὸσ Pl^{E}, corr. Jac. 13 χάλκευε A^{ac} | θάσσων A, corr. Pl 15 τόπερ (factum ex τὸπερ) ᾤκεεν A τό τ' ἐᾠκεεν Pl (τῷ τ' Pl^{b}) 17 π̄ὴρ δ' ἐμὸς Pl^{M} | ad h. v. exstat in P schol. rec. m. scriptum: ηρασθησ ὦ φίλοσ|τ⌜ου⌝ κάλλ⌜ουσ⌝ καὶ τ⌜ων⌝ λόγων|ὁμήρου καὶ τοῦτον πα|τέρα σον ἐκάλεσασ|διὰ τὴν σὴν εὐμου|σιαν και ναι μα τουσ|λόγουσ ου μακρὰν|εῖ (s. ῆ) τησ εκείνου ψυχ⌜ησ⌝:|καὶ τῶν εκείνου|χαρίτων: cf. Nonn. D. XXV 265 | ἰσόθεοσ φῶσ A 20 ἔσταξε Pl | καὶ κέραστο A, corr. Pl

αἰδοίῳ τε φίλῳ τε· σέβας δ' ἀπελάμπετο μορφῆς.
αὐχένι μὲν κύπτοντι γέρων ἐπεσύρετο βότρυς
χαίτης, εἰς ὀπίσω πεφορημένος, ἀμφὶ δ' ἀκουὰς
πλαζόμενος κεχάλαστο· κάτω δ' εὐρύνετο πώγων
ἀμφιταθείς, μαλακὸς δὲ καὶ εὔτροχος· οὐδὲ γὰρ ἦεν
ὀξυτενής, ἀλλ' εὐρὺς ἐπέπτατο, κάλλος ὑφαίνων
στήθεϊ γυμνωθέντι καὶ ἱμερόεντι προσώπῳ. M 61r
γυμνὸν δ' εἶχε μέτωπον· ἐπ' ἀπλοκάμῳ δὲ μετώπῳ
ἧστο σαοφροσύνη κουροτρόφος· ἀμφὶ δ' ἄρ' ὀφρῦς
ἀμφοτέρας προβλῆτας ἐύσκοπος ἔπλασε τέχνη,
οὔτι μάτην· φαέων γὰρ ἐρημάδες ἦσαν ὀπωπαί.
P 74 ἀλλ' οὐκ ἦν ἀλαῷ ἐναλίγκιος ἀνδρὶ νοῆσαι.
ἔζετο γὰρ κενεοῖς χάρις ὄμμασιν· ὡς δὲ δοκεύω,
τέχνη τοῦτο τέλεσσεν, ὅπως πάντεσσι φανείη
φέγγος ὑπὸ κραδίην σοφίης ἄσβεστον ἀείρων.
δοιαὶ μὲν ποτὶ βαιὸν ἐκοιλαίνοντο παρειαί,
γήραϊ ῥικνήεντι κατάσχετοι· ἀλλ' ἐνὶ κείναις
αὐτογενής, Χαρίτεσσι συνέστιος, ἴζανεν Αἰδώς.
Πιερικὴ δὲ μέλισσα περὶ στόμα θεῖον ἀλᾶτο
κηρίον ὠδίνουσα μελισταγές· ἀμφοτέρας δὲ
χεῖρας ἐπ' ἀλλήλῃσι τιθεὶς ἐπερείδετο ῥάβδῳ,

---

1 αἰδοίω A ι post ω add. C 3 εἰσὀπίσω A 5 ἀμφιλαφής? v. Nonn. D. XIV 185 6 ἐπέπτατο A; ἀπεπαύετο (sic Pl$^{1.a}$) ex ἐπέπαυτο corr. Pl^{M} ἐπαύετο Pl$^{b.s}$ 8 ἐπαπλοκάμωι A ἐπὶ ἁπλοκάμωι in Cram. Anecd. Oxon. IV 410, 15 9 ἆρ ex more A 11 ησαν(ισαι A^{ac}) ὁπωπαί P; adnot. m. rec.: τυφλὸσ ἦν ὁ πλάσασ| αὐτὸν (αὐτὸσ?), ἐπεὶ ὅμ̄σ πολ|λῶν ἀνδρῶν ἐβλεπε|κρειττ$^{\omega}$ (sic; scripserat κρείττω primo, tum corr. κρεῖττον circ. restituto et o = ον supra ω posito) 12 sq. in nova p. adnotavit L m^{e}: εἰς τὸ αγαλμα ὁμήρου| ἔκφρασισ τ̔ ἤθουσ ⌜καὶ⌝ τοῦ σχηματ⌜οσ⌝ αὐτοῦ 12 οὐκ ἦν ex οὐκοῦν corr. Pl^{M} 17 ἀλλεν⌞ὲ⌟ κείναισ P (ε m. rec.), ἀλλενὶ (?) κείναισ A^{ar}, ἀλλ' ἐν ἐκείναις Pl 18 ἴζανεν A 21 ἐπαλλήλαισι A; ἐπ' ἀλλήλῃσι Pl ex more poetae | adnotavit L: ὡσ θαυμαστ⌜ον⌝ το ⌜τησ⌝ | εἰκόνοσ σχῆμα

οἷά περ ἐν ζωοῖσιν· ἑὴν δ' ἔκλινεν ἀκουὴν
δεξιτερήν, δόκεεν δὲ καὶ Ἀπόλλωνος ἀκούειν
ἢ καὶ Πιερίδων τινὸς ἐγγύθεν· ἐν δ' ἄρα θυμῷ
σκεπτομένῳ μὲν ἔικτο· νόος δέ οἱ ἔνθα καὶ ἔνθα
ἐξ ἀδύτων πεφόρητο πολυστρέπτοιο μενοινῆς,
Πιερικῆς Σειρῆνος ἀρήιον ἔργον ὑφαίνων.

Καὶ Σύριος σελάγιζε σαοφροσύνῃ Φερεκύδης
ἱστάμενος· σοφίης δὲ θεουδέα κέντρα νομεύων
οὐρανὸν ἐσκοπίαζε, μετάρσιον ὄμμα τιταίνων.
Καὶ σοφὸς Ἡράκλειτος ἔην, θεοείκελος ἀνήρ,
ἔνθεον ἀρχαίης Ἐφέσου κλέος, ὅς ποτε μοῦνος
ἀνδρομέης ἔκλαιεν ἀνάλκιδος ἔργα γενέθλης.
Καὶ τύπος ἁβρὸς ἔλαμπεν ἀριστονόοιο Κρατίνου,
ὅς ποτε δημοβόροισι πολισσούχοισιν Ἰώνων
θυμοδακεῖς ἐθόωσεν ἀκοντιστῆρας ἰάμβους,
κῶμον ἀεξήσας, φιλοπαίγμονος ἔργον ἀοιδῆς.

Εἱστήκει δὲ Μένανδρος, ὃς εὐπύργοισιν Ἀθήναις
ὁπλοτέρου κώμοιο σελασφόρος ἔπρεπεν ἀστήρ.
πολλάων γὰρ ἔρωτας ἀνέπλασε παρθενικάων,
καὶ Χαρίτων θεράποντας ἐγείνατο παῖδας ἰάμβους,
ἅρπαγας οἰστρήεντας ἀεδνώτοιο κορείης,
μίξας σεμνὸν ἔρωτι μελίφρονος ἄνθος ἀοιδῆς.

---

1 ἑὴν δ' A 4 δέοι A δέ οἱ Pl 5 cl. Nonn. D. IX 44 fort. dativum reponere malis πολυστρέπτοισι μενοιναῖς || 7 εἰσ ἄγ. τοῦ φι|λοσόφου φερεκῦ A | σύριοσσελάγιζε P σύριοσ ἐλάγιζε A^{ac} 8 κεν τρανομεύων A || 10 εἰσ ἄγ. τοῦ φιλο|σόφου ἡρακλείτου A m^{e}, sed ἡράκλειτοσ A in t. 11 ἔνθεον ex ἔνθεος factum Pl^{M} 12 ἀνδρομένησ A, corr. Pl || 13 εἰσ ἄγ. κρατί|νου τοῦ κομι⌜κου⌝ A | ἀβρὸσ A ἁβρὸς mire dicitur Cratini τύπος, sed non tentandum ἀδρὸς 14 πολυσσούχοισιν A, corr. Pl^{s} | ἰώνων mutatum ex ἰώνων P || 17 εἰσ ἄγ. μενά⌜ν⌝|δρου τοῦ κομικοῦ A | ἐστήκει A ἑστήκει Pl; εἱστήκει Wernicke: cf. ad v. 72 22 ἄνθοσ P^{pr}: in ras. sunt litt. ἄνθ et σ, pro ἄν olim αγ (?), pro σ erat ν; fort. scrib. ὄγκον cui σεμνὸν magis convenit ||

Ἀμφιτρύων δ' ἤστραπτεν, ἀπειρογάμῳ τρίχα δάφνῃ
στεψάμενος· πᾶσιν μὲν ἐύσκοπος εἴδετο μάντις·
ἀλλ' οὐ μάντις ἔην· Ταφίης δ' ἐπὶ σήματι νίκης
στέμμα πολυστρέπτοισιν ἐπάρμενον εἶχεν ἐθείραις
Ἀλκμήνης μενέχαρμος ἀριστοτόκου παρακοίτης.

Θουκυδίδης δ' ἐλέλιξεν ἐὸν νόον· ἦν δὲ νοῆσαι
οἷά περ ἱστορίης δημηγόρον ἦθος ὑφαίνων.
δεξιτερὴν γὰρ ἀνέσχε μετάρσιον, ὡς πρὶν ἀείδων
Σπάρτης πικρὸν Ἄρηα καταντία Κεκροπιδάων,
Ἑλλάδος ἀμητῆρα πολυθρέπτοιο τιθήνης.

Οὐδ' Ἁλικαρνησοῦ με παρέδραμε θέσπις ἀηδών,
Ἡρόδοτος πολύιδρις, ὃς ὠγυγίων κλέα φωτῶν,
ὅσσα περ ἠπείρων δυὰς ἤγαγεν, ὅσσα περ αἰὼν
⟨ἔδρακεν ἑρπύζων, ἐνάταις ἀνεθήκατο Μούσαις,⟩
μίξας εὐεπίῃσιν Ἰωνίδος ἄνθεα φωνῆς.

Θήβης δ' ὠγυγίης Ἑλικώνιος ἵστατο κύκνος,
Πίνδαρος ἱμερόφωνος, ὃν ἀργυρότοξος Ἀπόλλων

---

1 *εἰσ ἄγ. τοῦ αμφι|τρύωνοσ* A | *τρίχαι* A *τρίχα* Pl 3 *ἐπισήματι* A, quod non mutand. v. c. in *αὐχήματι*: cfr. No. Di. 37, 60

4 *πολυστέπτοισιν* A, corr. Pl | *ἐφάρμενον* A *ἐπφάρμενον* Pl^{M} *ἐπάρμενον* Pl^{E} || 6 *εἰσ ἄγ. τοῦ ἱστο|ρι⌜κου⌝ θουκυδίδου* A | *ἐλέλιξεν* A Pl, *ἔλεξεν* K in vita Thuc. 2 (W. p. 203) 7 *ἦθοσ*: *η* ex *ει* corr. Pl^{M} 8 *ἀνίσχε* Bothe, *ἀνεῖχε* Sternb. 9 *ἀὐτων* (sic) A, *καὶ αὐτῶν* Pl, *καὶ ἀστῶν* Meineke (et Sternb., vix recte: *ἀστῶν* spondeum ante bucolicam non tuentur v. 176. 193. 274), *κλυτῶν κατὰ* Hilberg; scripsi *καταντία*, cfr. Oppian. Hal. II 555 | v. 375 post v. 376 transponit Pl^{I} 10 *ἀμητῆρα*: *μ* in eraso *λ*? P || 11 *εἰσ ἄγ. τοῦ ἱστο|ρικοῦ ἡροδότου* A | *ἁλικαρνησοῦ* A *ἁλικαρνασοῦ* Pl^{M} *ἁλικαρνασσοῦ* Pl^{s} | *ἀοιδόσ* Pl

13 *ὁσσάπερ* priore, *ὁσσάπερ* altero loco A; *ὅσσάπερ* Pl^{M} | *δοιὰσ* A, corr. Pl | *ἠΰγασεν*? an *δυὰς ἔδρακεν — αἰὼν Ἤγαγεν*? v. Nonn. D. 13, 498. 25, 23 14 vers. serv. Pl | *ἔδρακεν* (*δ* ex *ρ* et *κεν* ex *μον*? mut.) Pl^{M} | *ἐνάταις* ex *ἀνέταις* corr. Pl^{M}, *ἐραταῖς* Herw.

15 *εὐ επι ησιν* A || 16 *εἰσ ἄγ. τοῦ λυ|ρικοῦ πινδάρου* A | *ἑλικώνιοσ* (ut *ἑλικῶνοσ* p. 56, 1) A 17 *ἡμερόφωνος* Pl^{M}

ἔτρεφε Βοιωτοῖο παρὰ σκοπιὴν Ἑλικῶνος,
καὶ μέλος ἁρμονίης ἐδιδάξατο· τικτομένου γὰρ
ἑξόμεναι λιγυροῖσιν ἐπὶ στομάτεσσι μέλισσαι
κηρὸν ἀνεπλάσσαντο, σοφῆς ἐπιμάρτυρα μολπῆς.
Ξεινοφόων δ' ἤστραπτε, φεράσπιδος ἀστὸς Ἀθήνης,
ὃς πρὶν Ἀχαιμενίδαο μένος Κύροιο λιγαίνων
εἵπετο φωνήεντι Πλατωνίδος ἤθεϊ Μούσης,
ἱστορίης φιλάεθλον ἀριστώδινος ὀπώρην
συγκεράσας ῥαθάμιγξι φιλαγρύπνοιο μελίσσης.
Ἵστατο δ' Ἀλκμάων κεκλημένος οὔνομα μάντις·
ἀλλ' οὐ μάντις ἔην ὁ βοώμενος, οὐδ' ἐπὶ χαίτης
δάφνης εἶχε κόρυμβον· ἐγὼ δ' Ἀλκμᾶνα δοκεύω,
ὃς πρὶν ἐυφθόγγοιο λύρης ἠσκήσατο τέχνην,
Δώριον εὐκελάδοισι μέλος χορδῇσιν ὑφαίνων.
Καὶ πρόμος εὐκαμάτων Πομπήιος Αὐσονιήων,
φαιδρὸν ἰσαυροφόνων κειμήλιον ἠνορεάων,
στειβομένας ὑπὸ ποσσὶν Ἰσαυρίδας εἶχε μαχαίρας,
σημαίνων ὅτι δοῦλον ὑπὸ ζυγὸν αὐχένα Ταύρου
P 76 *εἴρυσεν, ἀρρήκτῳ πεπεδημένον ἅμματι Νίκης·* M 61v
κεῖνος ἀνήρ, ὃς πᾶσιν ἔην φάος, ὃς βασιλῆος

---

1 βιώτοιο A 2 τέλος? sed cf. Nonn. D. XIII 362 | ἁρμονίησ et ἐξόμεναι (l. 3) A 3 λιγυρ⌊ο⌋ῖσι P λιγυρῆισι A^{ar}, corr. Pl | μέλισσαι proparoxyt. in fine v. defenditur a Ludwichio 4 ἀνεπλάσαν⌊τ⌋ο (τ in eraso στ) P, corr. Pl || 5 l. εἰσ ἄγ. τοῦ | ξενοφῶντ⌜οσ⌝ A | ξενοφόων A, corr. Pl | ἀστος A (noli ci. ἄστρον cl. v. 362) 6 λιγαίνειν A, corr. Pl 8 ὁ πώρην A || 10 l. εἰς ἄγ. τοῦ λυ|ρικοῦ αλκμάων⌜οσ⌝ A | Ἀλκμαίων (Pl^{E}) ex Ἀλκμάων Pl^{M} 11 οὐδ' επι A 12 ἐγω δ' A | δοκεύων Pl^{I} 14 χορδῆσιν A || 15 εἰσ ἄγ. πομ|πηίου καισαρ⌜οσ⌝ absurde A pro *Πομπηίου* ⟨*προγόνου Ἀναστασίου τοῦ*⟩ *Καίσαρος* | 19 ad v. 402—404 (in nova p.) scripsit L m^{e}: ὅτι ο θαυμαστ⌜οσ⌝ ουτ⌜οσ⌝ | χριστόδωροσ επι ἀνα|στασίου την βασιλέωσ|του διαδεξαμ̣ε̣ τον ζ^{ή} (= ζήνωνα) | πεπεδημένον (alterum ε ex ο corr. A) ἅμματι P 20 malis ὃς ἅπασιν, ut thesis alterius pedis spondiaca positionis vi effecta vitetur: sed cfr. Nonn. Di. 47, 621 et paraphr. 9, 57

ἠγαθέην ἐφύτευσεν Ἀναστασίοιο γενέθλην.
τοῦτο δὲ πᾶσιν ἔδειξεν ἐμὸς σκηπτοῦχος ἀμύμων,
δῃώσας σακέεσσιν Ἰσαυρίδος ἔθνεα γαίης.

Ἵστατο δ' ἄλλος Ὅμηρος, ὃν οὐ πρόμον εὐεπιάων
θέσκελον υἷα Μέλητος ἐυρρείοντος ὀίω·
ἀλλ' ὃν Θρηικίῃσι παρ' ἠόσι γείνατο μήτηρ
Μοιρὼ κυδαλίμη Βυζαντιάς, ἣν ἔτι παιδνὴν
ἔτρεφον εὐεπίης ἡρωΐδος ἴδμονα Μοῦσαι.
κεῖνος γὰρ τραγικῆς πινυτὴν ἠσκήσατο τέχνην,
κοσμήσας ἐπέεσσιν ἑὴν Βυζαντίδα πάτρην.

Καὶ φίλος Αὐσονίοισι λιγύθροος ἔπρεπε κύκνος,
πνείων εὐεπίης Βεργίλλιος, ὅν ποτε Ῥώμης
Θυβριὰς ἄλλον Ὅμηρον ἀνέτρεφε πάτριος ἠχώ.

---

2 pro τοῦτο noli exspectare rem nomine (φῖτυ?) indicatam 3 διώισασ A, corr. Pl | ἔθνεα (non ἔθεα) A, Pl^{M}; ἔνθεα Pl^{b} (Pl$^{a.i}$ in textu, sed corr. in ἐπιδιορθ.) || 4 εἰσ ἄγ. τοῦ ποι|ητοῦ ὁμήρου A 5 ἐῦῤῥείοντοσ A ἐϋῤῥείεντος Pl 6 ἀλλ' ὃν C ἄλλον P^{ac} | παρήϊοσ A, corr. Pl 7 μοιρώι (ultima litt. post add.) P μοιρὼ Pl^{M} Μυρὼ Pl^{E} | κ|υ|δαλίμη P sed καδ. A^{ar} | Βυζαντίη Pl | πεδνην A πεδνὴν Pl^{M} παιδνὴν Pl^{s} 9 κεῖνος ἄρα Br. 10 ἐὴν A || 11 εἰσ ἄγ. τοῦ ποι|ητοῦ βιργιλίου A, add. L haec: του γράψαν τη τ⌜ων⌝|ρωμαίων διαλεκτ⌜ω⌝|την καλ⌜ου⌝μενην αἰ|νεάδα: εν επεσι θαυ|μασίοισ 12 βεργίλλιος A Βιργίλλοισ Pl^{E} et cod. Flor. 57, 29 Par. 1773; βιργ. ex βεργ. corr. Pl^{M} 13 θυβριὰσ (sic) A Θυμβριὰς Pl Flor. Par. ‖ Post Christodori descriptionem exhibent Pl^{E}, tamquam alteram libri V partem, epigrammata εἰς τὰς ἐν τῷ ἱπποδρόμῳ Κωνστ. πόλεως στήλας τῶν ἀθλητῶν, Pl^{M} non item: nam in Marc. 481 exstant haec epigr. in l. quarto, divisa in duas partes, quarum alteri Planudes haec praeponit (fol. 46^{v}): ἔτι εἰς τὰς στήλας τῶν ἐν τῷ ἱπποδρόμῳ ἡνιόχων ἐπιγράμματα ὀφείλοντα τοῖς προλαβοῦσι συνάπτεσθαι. Similiter Planudes in descriptione Christod., quod post v. 35 praemittit vv. 45—49, subicit 36—44, hunc errorem corrigit ad οὐδὲ σὺ μολπῆς (v. 44) adnotans: Εὔνασας ἁβρὸν ἔρωτα: προεγράφη κατὰ λήθην· ὧδε γὰρ ὀφείλει γράφεσθαι.

III.

ἘΝ ΚΥΖΊΚΩΙ ΕἸΣ ΤΟ͂Ν ΝΑΟ͂Ν ἈΠΟΛΛΩΝΊΔΟΣ, ΤΗ͂Σ ΜΗΤΡΟ͂Σ ἈΤΤΆΛΟΥ ΚΑῚ ΕὐΜΈΝΟΥΣ, ἘΠΙΓΡΆΜΜΑΤΑ.

ἃ εἰς τὰ στυλοπινάκια ἐγέγραπτο, περιέχοντα ἀναγλύφους ἱστορίας, ὡς ὑποτέτακται.

1. *Εἰς Διόνυσον, Σεμέλην τὴν μητέρα εἰς οὐρανὸν ἀνάγοντα,* | *προηγουμένου Ἑρμοῦ, Σατύρων δὲ καὶ Σιληνῶν* | *μετὰ λαμπάδων προπεμπόντων αὐτούς.* At

Τάνδε Διὸς δμαθεῖσαν ἐν ὠδίνεσσι κεραυνῷ,
καλλίκομον Κάδμου παῖδα καὶ Ἁρμονίης,
ματέρα θυρσοχαρὴς ἀνάγει γόνος ἐξ Ἀχέροντος,
τὰν ἄθεον Πενθεῦς ὕβριν ἀμειβόμενος.

III. Epigrammata Cyzicena ab A scripta continentur cod. Pal. p. 76, 16—81, 7. Titulum capitis scripsit A in textu, alterum L m^{e}, vide ad 2—5. Titulos carminum praemisit A in textu, nisi quod epigr. secundo titulum suum adscripsit in m^{e}; epigrammatis 16—19 numeros (ις′ — ιθ′) adpinxit A m^{e}. Lemmata breviora, pleraque ex titulis deprompta, add. L m^{e} carminibus 3—19; ex his lemmatis unum auxit C (cfr. ad 64, 13—16) || 2—5 adscripsit L m^{e} haec: *ταῦτα ἐν κυζίκωι* | *ἐν τῶι θαυμαζομέν'ω* | *ναῶι τησ μ̄ρσ ἀτταλου* | *καὶ ευμενοῦσ* (*Εὐμένους* Jac.) *τ⌜ων⌝ περ*|*γαμηνῶν* 3 *μ̄ρσ* (= *μητρὸσ*, ut *μ̄ρι* = *μητρὶ* 59, 2, *μ̄ρα* = *μητέρα* 61, 4) 4 *εὐμενοῦσ* A (v. ad 2—5) || 8 *οὐνο͞ν* A 9 *ἑρμοῦ* ex more A | *σιλήνων* A 11 *τᾶνδε* A | *δμ⌞α⌟θεῖσαν* C *δμηθεῖσαν* A^{ar} 12 *Κάδμου παῖδα* Jac., *παῖδ∗α* (*παῖδμα* A^{ar}) *κάδμου* P; an *Κάδμου καλλίκομον*? | *ἁρμονόησ* A, em. Jac. 14 *πενθεὺσ* (potius quam *πενθεῦσ*) A *Πενθεῦς* Chard., *Πενθέος* Jac. ||

2. *Ὁ Β κίων ἔχει Τήλεφον ἀνεγνωρισμένον τῇ ἑαυτοῦ μητρί.* Am

Τὸν βαθὺν Ἀρκαδίης προλιπὼν πάτον εἵνεκα μητρὸς
Αὔγης τᾶσδ' ἐπέβην γᾶς Τεὐθραντιάδος,
Τήλεφος, Ἡρακλέους φίλιος γόνος αὐτὸς ὑπάρχων,
ὄφρα μιν ἂψ ἀγάγω ἐς πέδον Ἀρκαδίης.

3. *Ὁ Γ ἔχει τυφλούμενον Φοίνικα ὑπὸ πατρὸς Ἀμύντορος, καὶ κωλύουσαν Ἀλκιμέδην τὸν οἰκεῖον ἄνδρα.* At

Ἀλκιμέδη ξυνόμευνον Ἀμύντορα παιδὸς ἐρύκει,
77 † *Φοίνικος δ' ἐθέλει παῦσαι χόλον γενέτου,*
11 *ὅττι περ ἤχθετο πατρὶ σαόφρονος εἵνεκα μητρός,*
παλλακίδος δούλης λέκτρα προσιεμένῳ·
κεῖνος δ' αὖ δολίοις ψιθυρίσμασιν ἤχθετο κούρῳ, 5
ἦγε δ' ἐς ὀφθαλμοὺς λαμπάδα παιδολέτιν.

15 4. *Ὁ Δ ἔχει Πολυμήδην καὶ Κλυτίον, τοὺς υἱοὺς Φινέως τοῦ Θρᾳκός, οἵτινες τὴν Φρυγίαν γυναῖκα τοῦ πατρὸς ἐφόνευσαν, ὅτι τῇ μητρὶ αὐτῶν Κλεοπάτρᾳ αὐτὴν ἐπεισῆγεν.* At

Μητρυιὰν Κλυτίος καὶ κλυτόνοος Πολυμήδης
κτείνουσι Φρυγίην, ματρὸς ὑπὲρ σφετέρας.

1—2 A marginem titulo occupavit, itaque L lemma hic addere om. | τῇ εαῦ̄ A 3 pro *πάτον* nec *πάγον* (Jac.) nec *μυχὸν* scrib. | μ̄ρ̄σ (= *ματρὸσ*) A 4 *τᾶσδ'* (non *τάσδ'*) A | *τευθρ.* A *Τεϋθρ.* Chard. 5 *φίλοσ* A, corr. Wakefield; an *κρύφιος*? | *φίλος ἔκγονος* Ludwich | *ἐποιχνῶν*? 6 *ὄφρά* A | *ἀψ' ἂν γάγω* A, corr. Jac. (idem *ἀνάγω* proposuit) | *πεδίον* A, corr. Jac. ‖ 7—8 *ὁ τρίτοσ πίναξ | τοῦ τρῖ στυλοβᾱ* add. Lm^{e} 9 *ἀλκιμέδη∗* P *ἀλκιμέδην* A^{ar} | *ξύνευνον* A *ξυνόμευνον* Jac., *Ἀλκιμέδεια σύνευνον* Meineke 10 *ἡ δ' ἐθέλει* A *δ' ἐθέλει* Jac. | *παῦσαι ἔριν* Bothe; fort. *Φοίνικος δ' ἐσθλοῦ παῦσε χ.* 11 *ὅττί* A | *εἵνεκα μητρὸσ* A, corr. Jac. 12 *προϊεμένωι* A, corr. Heyne 14 *ἤγεδ' εἰσ* et *παιδολέτην* A, corr. Heyne ‖ 15—17 *ὁ τέταρτοσ πί|ναξ του αυ^{τ} στυλοβατου* Lm^{e} 15 *κλύτιον* A (sed *κλυτίοσ* 18) 16 *θρακόσ* A 17 *τῇ μ̄ρ̄ι αὐτ̄ῷ* A 18 *ματρυιὰν*? | *κλειτόνοος* Heyne 19 *πατρὸσ* A, corr. Uhdenius

Κλειοπάτρη δ' ἐπὶ τοῖσιν ἀγάλλεται, ἥ σφιν ἐπεῖδεν
τὰν Φινέως γαμετὰν δαμναμένην δσίως.

5. Ὁ Ε ἔχει Κρεσφόντην ἀναιροῦντα Πολυφόντην, τοῦ πατρὸς τὸν | φονέα· ἔστι δὲ καὶ Μερόπη βάκτρον κατέχουσα καὶ | συνεργοῦσα τῷ υἱῷ πρὸς τὴν τοῦ ἀνδρὸς ἐκδημίαν. At

Κρεσφόντου γενέτην πέφνες τὸ πάρος, Πολυφόντα,
κουριδίης ἀλόχου λέκτρα θέλων βιάσαι·
ὀψὲ δέ οἱ πάις ἦκε φόνῳ γενέτῃ προσαμύνων,
καί σε κατακτείνει ματρὸς ὑπὲρ Μερόπας.
τοὔνεκα καὶ δόρυ πῆξε μεταφρένῳ· ἃ δ' ἐπαρήγει,
βριθὺ κατὰ κροτάφων βάκτρον ἐρειδομένα.

6. Ὁ Ϛ ἔχει Πυθῶνα ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος ἀναιρού|μενον, καθότι τὴν Λητὼ πορευομένην εἰς Δελφοὺς | ἐπὶ τὸ κατασχεῖν ⟨τὸ⟩ μαντεῖον ἐπιφανεὶς διεκώλυσεν. At

Γηγενέταν Πυθῶνα, μεμιγμένον ἑρπετὸν ὅλκοῖς,
ἐκνεύει Λατώ, πάγχυ μυσαττομένη·
σκῦλαι γὰρ ἐθέλει πινυτὰν θεόν· ἀλλά γε τόξῳ
θῆρα καθαιμάσσει Φοῖβος ἀπὸ σκοπιῆς.

---

1 ἐπι τοῖσιν A: ἐπὶ παισὶν? | ⌊ἀγ⌋άλλεται P ἀγγάλλ. A^{ar} | ἡ πρὶν A ἥπερ Jac., scripsi ἥ σφιν | ἦν πρὶν ἐπεῖδον Sternbach

2 γαμέταν A, fort. γαμέτιν | δαμναμέναν? ‖ 3—5 π̄ (= περὶ) τ⌜ου⌝ πέμπτ⌜ου⌝ | πινακοσ L m^{e} 3 κρεσφόνην A 5 ἐκδημία¯ A ἐκδικίαν Boiss. (ζημίαν Jac.) 6 κρεσφόντου (non κρεφόντου) A | γ⌊ε⌋νέτην P, γενέταν? (cfr. 62, 8; 63, 2) 7 μιάναι A μιανεῖν Meineke; βιάσαι scripsi 8 ὀψὲ δέοι A δέ σοι Hecker (frustra: οἱ sc. Meropae) | ἦκ·εν. (non ἦκε) A | φόνον γενετῆρος ἀμύνων Jac.; fort. φίλῳ γενέτᾳ ‖ 12—14 π⌜ερι⌝ τ⌜ου⌝ εκτ⌜ου⌝ πίνα⌜κοσ⌝ add. L m^{e} 14 τὸ post ἐπιτο (sic A) κατασχεῖν add. Jac. | ἐπιφανεὶς? corr. ex ἐπιφανὴσ? P 15 γηγενέα A, corr. Sternb. | ἑλιγμένον Jac. | Πυθῶν' ἀνελιγμένον Graefe; fort. Πύθων' ἑλελιγμένον: cfr. Nonn. Dionys. I 202 | ἑρπετὸν A ἑρπετοῦ Boiss. | ὁλκοῖσ A 17 σκύλαν A (σκυλᾶν Chard.) σκύλλειν Jac. (et Herw.) σκῦλαι L. Dind. | πινυτὰν ἐθέλει Jac.: quod probabilius quam ποθέει πινυτὰν | ἀλλάγετο ξον A, corr. Jac.; idem ci. τόξον — Φοίβου (18)

Δελφὸν δ' αὖ θήσει τρίπον ἔνθεον· ἐκ δ' ὅδ' ὀδόντων
πικρὸν ἀποπνεύσει ῥοῖζον ὀδυρόμενος.

7. Ὁ Ζ ἔχει, περὶ τὰ ἀρκτῷα μέρη, Ἀμφίονος καὶ Ζήθου ἱστορίαν· | προσάπτοντες ταύρῳ τὴν Δίρκην, ὅτι τὴν μητέρα αὐτῶν Ἀντιό|πην, διὰ τὴν φθορὰν Λύκῳ τῷ ἀνδρὶ αὐτῆς ὑπὸ Νυκτέως τοῦ πατρὸς | αὐτῆς ⟨παραδοθεῖσαν,⟩ ὀργῇ
78 ζηλοτύπῳ ἐνεχθεῖσα, ἀμέτρως ἐτιμωρήσατο. At

Ἀμφίων καὶ Ζῆθε, δύο σκυλακεύματα, Δίρκην
κτείνατε τάνδ' ὀλέτιν ματέρος Ἀντιόπας,
δέσμιον ἣν πάρος εἶχε διὰ ζηλήμονα μῆνιν·
νῦν δ' ἱκέτις αὐτὴ λίσσετ' ὀδυρομένη.
εὖ γε καὶ ἐκ ταύροιο καθάπτετε δίπλακα σειρήν,
ὄφρα δέμας σύρῃ τῆσδε κατὰ ξυλόχου.

8. Ἐν τῷ Η ἡ τοῦ Ὀδυσσέως νεκυομαντεία· καθέστηκεν τὴν | ἰδίαν μητέρα Ἀντίκλειαν περὶ τῶν κατὰ τὸν οἶκον ἀνακρίνων. At

Μᾶτερ Ὀδυσσῆος πινυτόφρονος, Ἀντίκλεια,
ζῶσα μὲν εἰς Ἰθάκην οὐχ ὑπέδεξο πάιν.

---

1 δ' αὖ Graefe (δ' οὖν Jac.), δ' οὐ A; fort. δ' ὀρθώσει | ἐκ δὲ δρακόντων A ἐκ δὲ δράκων οἱ Graefe (τοι Sternb.) ἐκ δ' ὅδ' ὀδόντων Jac.; incertae sunt emendat. Graefii et Jac.; fort. scrib., ut etiam prior vs. pars spectet Pythonem: Δελφὸν δ' οὐ φθίσει τρίπον ἔνθ., ἐκ δ' ἄρ' ὀδόντων (ἐκ δ' ἄρ' s. ὃς δ' ἄρ' Jac.) || 3—7 π⌜ερι⌝ τοῦ εβόμου (sic) πί νακοσ Lm^{e}; in nova p. adscripsit haec Lm^{e}: π⌜ερι⌝ ἀμφίονοσ καὶ|ζηθου τ⌜ων⌝ υἱῶν|ἀντιόπησ 3 τα ἀρκτῶα A | ἀμφίων⌜οσ⌝ A 4 προσαπτόντων Chardon | τ⌜ην⌝ διορκ⌜ην⌝ (sic) A | ὁ pro ὅτι A 5 τῶ ἀνδρὶ αὐτ⌜ησ⌝ (sic) A 6 αὐτ⌜ησ⌝ (Ἀντιόπης?) ὀργῇ A, suppl. Heyne 7 ἐνσχεθεῖσα Jac. 8 Διὸς Wilamow. | σκυλεύματα A, corr. Jac. | Δίρκης A, em. Chard. 9 κτείνατ⌊ε⌋ τὰνδ' P 10 ἣ πάροσ A, corr. Jac.; an ἂν π ? | δ. αζηλήμονα (sic) A, em Jac. 11 ἱκέτησ A, ἱκέτις Jac. | αὐτὴ P αὖτη? A^{ar} | αὐτὰ — ὀδυρομένα (et Δίρκαν 8)? 12 ἄγε A, scripsi εὖ γε | ἀλλ' ἄγε κἀκ Jac. | καθάπτεται P, corr. Chard. 13 ὃ φρα A | τᾶσδε? || 14—16 π⌜ερι⌝ του ογδόου πινακοσ Lm^{e} 14 ὀδυσέωσ A | καθέστηκ⌜εν⌝ (sic) A 15 ἀντ⌊ι⌋κλειαν P ἀντηκλ. A^{ar} 16 ἀνακρίῳ A 17 μάτερ A 18 ὑπεδέξατο A, corr. Heyne

ἀλλά σε νῦν Ἀχέροντος ἐπὶ ῥηγμῖσι γεγῶσαν
θαμβεῖ, ἀνὰ γλυκερὰν ματέρα δερκόμενος.

9. Ἐν τῷ Θ | Πελίας καὶ Νηλεὺς ἐλλελάξευνται, οἱ Ποσειδῶνος παῖδες, ἐκ | δεσμῶν τὴν ἑαυτῶν μητέρα ῥυόμενοι, ἣν πρώην ὁ πατὴρ μὲν Σαλμωνεὺς | διὰ τὴν φθορὰν ἔδησεν· ἡ δὲ μητρυιὰ αὐτῆς Σιδηρὼ τὰς βα|σάνους αὐτῇ ἐπέτεινεν. At

Μὴ Τυρὼ τρύχοι σὸν ἔτι σπείρημα, Σιδηροῖ,
Σαλμωνεῖ γενέτᾳ τῷδ' ὑποτασσομέναν·
οὐκέτι γὰρ δουλώσει ἐν ἕρκεσιν, ἐγγύθι λεύσσων
Νηλέα καὶ Πελίαν τούσδε καθεζομένους.

10. Ἐν δὲ τῷ κατὰ δύσιν πλευρῷ ἐστιν ἐν ἀρχῇ τοῦ Ι πίνακος Εὔ|νοος γεγλυμμένος καὶ Θόας, οὓς ἐγέννησεν Ὑψιπύ|λη, ἀναγωριζόμενοι τῇ μητρί, καὶ τὴν χρυσῆν δεικνύν|τες ἄμπελον, ὅπερ ἦν αὐτοῖς τοῦ γένους σύμβολον, | καὶ ῥυόμενοι αὐτὴν τῆς διὰ τὸν Ἀρχεμόρου θάνατον | παρ' Εὐρυδίκης τιμωρίας. At

Φαῖνε, Θόαν, Βάκχοιο φυτὸν τόδε· ματέρα γάρ σου
ῥύσῃ τοῦ θανάτου, οἰκέτιν Ὑψιπύλαν·

---

1 ριγμῖσι A | γεγῶσαν (ω corr. ex α?) A, fort. βιβᾶσαν 2 ἀν αγλ. A, ἄναξ γλ. Heyne, τὰν γλ. Jac.; an θαυμαίνει γλ.? || 3—6 π⌜ερι⌝ τ⌜ου⌝ ενναˡτου⌝ πινακοσ Lm^{e} 3 πειλι⌜ασ⌝ A, corr. Jac. | νηλεῦσ ἐνλελάξευνται A, ἐλλελ. scripsi 6 μητρυὰ A | σιδήρω A 7 cod. verba: μη τέρα τρηχείοισιν ἐπι σπείρημα σιδήρωι varie vexata ita mutavi, ut sensus existeret „ne Tyronem etiam nunc crucient tua, Sidero, vincula“ (μὴ τρέμε τρηχείῃσιν ἐπὶ σπείρῃσι Σιδηροῦς Graefe) 8 ὑποτασσομένωι A, corr. Jac. (ὑποτασσομένη Gr.) 9 δεσμώσει? (cfr. lin. 4 et 5) | ἐνέρκεσιν (sic) et λεύσων A 10 νηλέα∗ P νηλέαν A^{ar} | καθεξομένους Hecker || 11—16 π⌜ερὶ⌝ τ⌜ου⌝ δεκάτ̃ πί|νακοσ καὶ τῶν εν αυτῶι γεγραμμ̃ Lm^{e}, qui ad v. 2 adnotavit: ὅτι ὁ εὔνοος καὶ|Θόας ἀδελφοὶ|ἐξ ὑψιπυλησ 11 ἐνδε^{τῶ}κᾶ A | πλευρῶ ἔστιν ἐναρχῇ A 12 εὔνοοσ A Εὔνεως Welcker 13 χρυσὴν A 14 ⌊τοῦ⌋ γ⌊έ⌋νουσ P ἐκγίνουσ? A^{ar}, fort. ἐκ γένους 14 σύμβουλον A, corr. Jac. 15 αὐτ⌜ην⌝ διὰ τὴσ ἀρχεμόρου A, corr. Jac. | τῆσ παρ εὐρυδίκη A: articul. del. Jac., Εὐρυδίκης rest. Boiss. 18 τοῦ θανάτου Jac., τὸν θατέρου A | ἱκέτιν Jac.

ἃ τὸν ἀπ' Εὐρυδίκας ἔτλη χόλον, ἦμος ἀπούρας
ὕδρος, ὁ γᾶς γενέτας, ὤλεσεν Ἀρχέμορον.
στεῖχε δὲ καὶ σὺ λιπὼν Ἀσωπίδος ἄγκεα κούρας,
γειναμένην ἄξων Λῆμνον ἐς ἠγαθέην.

9 11. Ἐν τῷ ΙΑ Πολυδέκτης ὁ Σεριφίων βασιλεὺς ἀπολιθού-
6 μενος ὑπὸ | Περσέως τῇ τῆς Γοργόνος κεφαλῇ, διὰ τὸν τῆς
μητρὸς αὐτοῦ γάμον | ἐκπέμψας τοῦτον ἐπὶ τὴν τῆς Γοργόνος
κεφαλήν, καὶ ὃν καθ' ἕ|τέρου θάνατον ἐπενόει γενέσθαι,
τοῦτον αὐτὸς κατὰ τὴν | πρόνοιαν τῆς Δίκης ἐδέξατο. At

10 Ἔτλης καὶ σὺ λέχη Δανάης, Πολύδεκτα, μιαίνειν,
δυσφήμοις εὐναῖς τῷ Διὶ μεμψάμενος·
ἀνθ' ὧν ὄμματ' ἔλυσε τὰ Γοργόνος ἐνθάδε Περσεύς,
γυῖα λιθουργήσας ματρὶ χαριζόμενος.

12. Ἐν τῷ ΙΒ Ἰξίων Φόρβαντα καὶ Πολύμηλον ἀναιρῶν |
15 διὰ τὸν εἰς τὴν μητέρα τὴν ἰδίαν Μεγάραν γεγενημένον
φόνον· | μηδ' ὁπότερον γὰρ αὐτῶν προελομένη γῆμαι, ἀγα-
νακτή|σαντες ἐπὶ τοῦτο ἐφόνευσαν. At

Φόρβαν καὶ Πολύμηλον ὅδ' Ἰξίων βάλε γαίῃ,
ποινὰν τᾶς ἰδίας ματρὸς ἀναινόμενος.

---

1 ἦμοσ (spiritu bis posito) P | ἀφοῦ θαρ A ἐπ' οὖθαρ Heyne, ὁ σῦφαρ Hecker, ἀπούρας Meineke 2 γαγενέτας Heck. 3 ἀσώτιδοσ A, corr. Jac. | ἄγκεα κούρας tentavi, νέαν κούραν A, Εὔνοε, κράναν Jac., ἕδρανα (ἔνδια Heck.) κούρας Graefe; Ἀσωπίδα, Εὔνο', ἄρουραν olim Jac.; an Ἀσωπίδα νειὸν ἄρουραν? 4 ἔξω· A ἄξων Jac. | λήμνον A ‖ 5—9 π⌜ερι⌝ πολυδέκτου | του σερε φων (Σερίφων Jac.) βα|σιλέωσ ὃν απέ|κτεινε περσεύς L m^{e} 5 ὁ σερέφω⌜ν⌝, scripsi Σεριφίων | βασιλ comp. A 8 κεφαλ A | γενήσεσθαι? 11 εὐναῖσ A δέννοις Jac.; an αὔχαις? | δυστήνους (Herw.) εὐνὰς — μεμψαμένης Heck. | τὸν Δί' ἀμειψάμενος Wilamowitz ‖ 14—17 π⌜ερι⌝ φόρβαντ⌜οσ⌝ καὶ πο|λυμήλου οὗσ απεκτειν⌜εν⌝ ἰξίων L m^{e} 15 μέγαραν A 16 μηδὸ πότερον A | fort. προελομένην 17 ἐπὶ τούτῳ Dübn. 18 ὃ δ' A | γαίη A γαίῃ Jac. 19 ποινὰν ex ποινᾶν cr. P | ἀμυνόμενος A, ἀναινόμενος sumpsi ex Il. I 633; an praestat ματέρος αἰνύμενος sive ἀρνύμενος? ‖

13. Ὁ δὲ ΙΓ ⟨ἔχει⟩ Ἡρακλέα ἄγοντα τὴν μητέρα αὐτοῦ Ἀλκμήνην εἰς τὸ | Ἠλύσιον πεδίον, συνοικίζοντα αὐτὴν Ῥαδαμάνθυϊ, | αὐτὸν δὲ εἰς θεοὺς δῆθεν ἐγκρινόμενον. At

Ἀλκίδας ὁ Θρασὺς Ῥαδαμάνθυϊ ματέρα τάνδε,
Ἀλκμήναν, ὅσιον πρὸς λέχος ἐξέδοτο.

14. Ἐν δὲ τῷ | ΙΔ Τιτυὸς ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος τοξευόμενος, | ἐπειδὴ τὴν μητέρα αὐτῶν Λητὼ ἐτόλμησεν ὑβρίσαι. At

Μάργε καὶ ἀφροσύνῃ μεμεθυσμένε, τίπτε βιαίως
εἰς εὐνὰς ἐτράπης τᾶς Διὸς εὐνέτιδος;
ὅς σε δὴ αἵματι φῦρσε κατάξια, θηρσὶ δὲ φορβὰν
καὶ πτανοῖς ἐπὶ γᾷ εὔνασε νῦν ὁσίως.

15. Ἐν δὲ τῷ ΙΕ | Βελλεροφόντης ὑπὸ τοῦ παιδὸς Γλαύκου σωζόμενος, | ἡνίκα κατενεχθεὶς ὑπὸ τοῦ Πηγάσου εἰς τὸ Ἀλήιον πεδίον | ἔμελλεν ὑπὸ Μεγαπένθους τοῦ Προίτου φονεύεσθαι. At

Οὐκέτι Προιτιάδου φόνον ἔσχεθε Βελλεροφόντης
† τοῦδ' ἐκ τοῦ παιδὸς τειρομένου θάνατον.

1—3 περὶ ηρακλε⌜ουσ⌝ καὶ αλ|κμην⌜ησ⌝ τ⌜ησ⌝ μ̄ρ̄σ | αὐτοῦ L m^{e} 1 ἔχει inserui (cfr. lemm. ad III 2—7) 2 ἡλύσιον A 4 Ἀλκείδας ? 5 ἐξέδ^{ο}*το C ἐξέδετο A^{ar} ‖ 6—8 ex corrupto carminis titulo (v. ad 6 et 7) ineptum lemma L concinnavit hoc: περὶ τῶν νἱῶν νιόβ⌜ησ⌝ | οὓσ απέκτειν⌜εν⌝ | απόλλων 6 Τιτυὸς ὑπὸ Zoega τοὺσ ὑπο A 7 τοξευομένους A, em. Zoega | αὐτῶν: cum circ. et gravi supra ω P | ἐτόλμησα¯ A, corr. Zoega 9 ἀφροσύνη A 11 φύρσε A | δὲ βορράν A δὲ φορβὰν scripsi (βορὰν δὲ Dind.) 12 γᾶι· A γᾶς Boiss. | εἴασε νῦν A, scripsi εὔνασε νῦν (an ἐξετάννυσσ' ?) ‖ 13—16 π̄ε (sic pro περὶ) γλαύκου καὶ βελλεροφο͞ν L m^{e}, των ἡρώων add. C m^{e} p. 79; περὶ βελλεροφόντ⌜ου⌝ | καὶ γλαύκου iteravit L p. 80 13 βελλεροφόντ^{ο} (i. e. Βελλεροφόντος) A 14 π̄ὸ (non ἀπὸ) τοῦ πηγάσου εἱστο A 15 π̄ὸ μεγαπ. A 17 οὐτέτι A, corr. Heyne | προίτου παιδὸσ φόνον A, corr. Meineke

† *Γλαύκου κρανταγένους Ἰοβάτου δ' ὑπαλύξει,*
οὕτως γὰρ Μοιρῶν ⟨πύκν'⟩ ἐπέκλωσε λίνα.
καὶ σὺ πατρὸς φόνον αὐτὸς ἀπήλασας ἐγγύθεν ἐλθών,
καὶ μύθων ἐσθλῶν μάρτυς ἐπεφράσατο.

16. *Κατὰ δὲ τὰς θύρας τοῦ ναοῦ προσιόντων ἐστὶν Αἴολος | καὶ Βοιωτός, Ποσειδῶνος παῖδες, ῥυόμενοι ἐκ δεσμῶν | τὴν μητέρα Μελανίππην, τῶν περιτεθέντων αὐτῇ διὰ τὴν | φθορὰν ὑπὸ τοῦ πατρὸς αὐτῆς.* A t

Αἴολε καὶ Βοιωτέ, σοφὸν φιλομήτορα μῦθον
πρήξατε, μητέρ' ἐὴν λυόμενοι θανάτου·
τοὔνεκα γὰρ καὶ ⟨πᾶσι⟩ πεφήνατε ἄλκιμοι ἄνδρες,
ὃς μὲν ἀπ' Αἰολίης, ὃς δ' ἀπὸ Βοιωτίης.

17. *Ἐν δὲ τῷ | IZ Ἄναπις καὶ Ἀμφίνομος, οἳ ἐκραγέντων τῶν κατὰ | Σικελίαν κρατήρων διὰ τοῦ πυρὸς οὐδὲν ἕτερον | ἢ τοὺς ἑαυτῶν γονεῖς βαστάσαντες ἔσωσαν.* A t

† *Πυρὸς καὶ γαίης .....*

---

1 epigr. versus 2 et 3 desperati: *τοῦδ' ἐκτὸς παιδὸς τινυμένου θάνατον | Γλαύκου· κῆρα κακὴν δ' οὐδ' Ἰοβάτης ὑπαλύξει* ceteris paulo probabilius Jac.; nec praeferam mea *λευγαλέου πέσεος τειρόμενος καμάτῳ· | Γλαῦκε, σὲ δ' οὐ κείνου μένος Ἰοβάτου θ' ὑπαλύξει* 2 *τῷδ'* Jac., *οἳ* Heyne inser.: supplevi *πύκν'*; an scr. M. *τοῖσδ'*? | *λῖνα* A 3 *ἀπήλαυσας* A, corr. Heyne 4 *καὶ μόχθων* Jac. | *μάρτυν* Graefe | *ἐπεφράσαο* Heyne et Gr.; *ἐπεγράφετο* Jac.; fort. *μαρτύρι' εἰργάσαο* vel *μνῆστιν ἐπειργάσαο* 5—8 *περὶ Αἰόλου καὶ βοι|ωτοῦ τ⌜ων⌝ υἱῶν ποσειδῶνος* L m^{e}; numerum ιϛ add. A m^{e} 5 *προσιόντων ἔστιν* A 6 *βοιωτ⌜οσ⌝* A 9 *μῦθον* (sic) A, *μόχθον* Jac.; an *φιλομάτορ' ἄεθλον*? 10 *μητέρην* A, corr. Chardon; nisi *πράξατε ματέρ' ἐὰν* reponere praestat | *ῥυόμενοι* Jac. | noli *λυόμενοι δεμάτων* restituere ex titulo 11 *πᾶσι* inserui; *κάρτα* Bothe | *πεφήνατε* (corr. *τε* ex *τι*) P *πεφήνατον* Heyne 12 *ὃς δ' ἄρ' ἀπ' Ἀονίης* Meineke; fort. *ὃς δὲ παρ' Ἀονίης* ‖ 13—15 *περὶ ἀνάπεως|καὶ ἀμφινόμου|τ⌜ων⌝ σικελιωτῶν* L m^{e}; numerum ιζ adpinxit A m^{e} 16 $^{/}$ *πυρὸσ* P: signum corruptelae $^{/}$ add. L cum nota marg.: *ζτ. το λειπ̀* (*λοιπὸν* apogr. Par.) *ἐπίγραμμ/* | *ἐκ πυρὸς Αἴτνης* et *πυρκαϊῆς* Jac. | sequitur in cod. lacuna quattuor versuum ‖

18. *Ἐν δὲ τῷ ΙΗ Κλέοβίς ἐστι καὶ Βίτων· τὴν ἑαυτῶν μητέρα Κυδίπ|πην, ἱερωμένην ἐν Ἄργει Ἥρας, αὐτοὶ ὑποσχόντες τοὺς αὐ|χένας τῷ ζυγῷ διὰ τὸ βραδῦναι τὸ ζεῦγος τῶν βοῶν, | ἱερουργῆσαι [τὴν μητέρα] ἐποίησαν· καὶ ἡσθεῖσα, φασίν, ἐπὶ | τούτῳ ἐκείνη ηὔξατο τῇ θεῷ εἴ τί ἐστι κάλλιστον | ἐν ἀνθρώποις, τοῦτο τοῖς παισὶν αὐτῆς ὑπαντῆσαι· καὶ τοῦτο | αὐτῆς εὐξαμένης ἐκεῖνοι αὐτονυκτὶ θνήσκουσιν.* A t

Οὐ ψευδὴς ὅδε μῦθος, ἀληθείῃ δὲ κέκασται,
Κυδίππης παίδων εὐσεβίης θ' ὁσίης.
ἡδυχαρὴς γὰρ ἔην σκοπὸς ἀνδράσιν ὥριος οἵτος,
μητρὸς ἐπεὶ φιλίῃ κλεινὸν ἔθεντο πόνον.
χαίροιτ' εἰν ἐνέροισιν ἐπ' εὐσεβίῃ, κλυτοὶ ἄνδρες,
καὶ τὸν ἀπ' αἰώνων μῦθον ἔχοιτε μόνοι.

19. *Ἐν δὲ τῷ | ΙΘ Ῥῆμος καὶ Ῥωμύλος ἐκ τῆς Ἀμολίου κολάσεως ῥυόμε|νοι τὴν μητέρα, Σερβήλειαν ὀνόματι· ταύτην* P 81 *γὰρ ὁ Ἄρης φθείρας | ἐξ αὐτῆς ἐγέννησεν, καὶ ἐκτεθέντας αὐτοὺς λύ|καινα ἔθρεψεν. ἀνδρωθέντες οὖν τὴν μητέρα τῶν δεσμῶν | ἔλυσαν, Ῥώμην δὲ κτίσαντες Νομήτορι τὴν βασιλείαν ἀπεκατέστησαν.* A t

---

1—7 *περὶ κλεόβιδος | καὶ βίτωνος τῶν | υἱῶν κυδίππης* L m^e, *ϊη* num. repetit A m^e 1 *ε̄σ* pro *ἐστι* (ut l. 5 *εἴ τι ε̄σ*) A 2 *κυ⌊δ⌋ίππην* P 3 *διατο βραδῦναι* A | *σκεῦος* A *ζεῦγος* Jac. 4 verba *τ⌈ην⌉ μ̄ρα* del. Jac., sed fort. corr.: *τῇ Ἥρᾳ | ἡθεῖσα* A, *σ* supra *η* scripsit C 5 *φησὶν* A *φασὶν* Jac. | *τούτω* A | *τῇ θ̄ῳ* A 6 *ἐνανοισ* A | *ὑπάντησαι* (acc. perfecit C) P 7 *τοῦ* pro *τοῦτο* A 8 *ἀληθείη* A 9 *ἐυσεβίησ θυσίην* P, corr. Jac.

10 *ἡδῦ χάρισ* P, corr. Jac. (*ἡδύχαρις* Chard.) | *σκοπὸσ* (sic) A, *κόπος* Jac. | *ὥριος* A *ἀνδράσι χ'ὥριος* Jac. | *οὗτος* A, scripsi *οἵτος* 11 *ματρὸς*? | *ἐπευσεβίη* (ex v. 5 intulit) A; restitui *ἐπεὶ φιλίῃ* (*σεβίσει* Herwerd.); an *ὅτ'* (Jac.) *εὐφιλέες*? 12 *οὖν ἱεροῖσιν* A, *εἰν ἐνέροισιν* Jac. (*χαίρετε κἠν ἐν.* Dilthey) 13 malim *ἔχοιτ' ὀπίσω* ‖

14—19 Duo lemmata add. L, p. 80 m^e hoc: *περὶ ῥ$^{ευ}_{ι}$μ̄* (scil. *ῥημου* mutavit L in *ῥεμου*) *καὶ ῥωμυ|τῶν υἱῶν σερβι|, οἵτινεσ πρῶτοι | τὴν ῥώμην ἔκτισ⌈αν⌉*; alterum scripsit p. 81 m^e: *περὶ ρωμύλου | καὶ ῥεμου τῶν | αδελφῶν | οἵτινεσ την μεγάλην | ῥώμην ἐκτισ⌈αν⌉*. Intra verba lemmatis prioris exstat numerus

Τόνδε σὺ μὲν παίδων κρύφιον πόνον Ἄρεϊ τίκτεις,
† Ῥῆμόν τε ξυνῇ καὶ Ῥωμύλον λεχέων·
θὴρ δὲ λύκαιν' ἄνδρωσεν ὑπὸ σπήλυγγι τιθηνός,
οἵ σε δυσηκέστων ἥρπασαν ἐκ καμάτων.

ϊϑ ab A m^{e} adpictus 14 ρῆμ⌜οσ⌝ και ρωμῦλ⌜οσ⌝ A 15 σερβήλειαν A *σερβιλίαν* appellat L *Σιλονίαν* Heyne 16 ἔξαντ⌜ησ⌝ A 18 sq. βασιλ comp. pro βασιλείαν A | ἀπεκατ⌜έσ⌝ τησ⌜αν⌝ A (num *ἀποκατέστησαν* corr.?)

1 *πόνον* A *γόνον* Schäfer 2 ῥῆμοντε A Ῥῶμόν τε Meineke | ξυνὴ A ξυνῇ Jac. ξυνῶν idem et Meineke | ρω μύλλων A Ῥωμύλον Jac. Ῥεμύλον Mein. | Ῥῆμον καὶ ξυνῶν Ῥωμύλον ἐκ λεχέων Heyne; fort. Ῥῆμόν τ' ἐκ ξυνῶν καὶ δίδυμον (= fratrem geminum) λοχίων: cfr. [Dem.] contra Aristogit. I 793, Nonn. Di. IX 316 et A. P. VII 375, 5 3 θηρ δὲ et τιθῆνος A 4 ἥρπασαν A

IV.

PROOEMIA ANTHOLOGIARUM MELEAGRI GADARENI, PHILIPPI THESSALONICENSIS, AGATHIAE MYRINAEI.

1. ΜΕΛΕΑΓΡΟΥ ΣΤΕΦΑΝΟΣ. A

Μοῦσα φίλα, τίνι τάνδε φέρεις πάγκαρπον ἀοιδάν;
ἢ τίς ὁ καὶ τεύξας ὑμνοθετᾶν στέφανον;

IV Caput quartum titulo caret in P; prooemia scripta sunt ab A cod. p. 81, 8—87, 29. Singulis prooemiis de syllogarum auctoribus et ratione scholia add. L m^{e} (vid. ad l. 6; 72, 5; 73, 5—9): v. Flach. Hesych. XVII, Wolters Mus. Rh. 38, 99, St. Melet. 17 ‖ 6 ad hoc prooemium duo scholia exstant ab L scripta, quorum utrique eadem manus alio atram. postmodo pauca adiecit (L^{2}). Adnotavit haec L p. 81 m^{e}: *οὗ⌊τ⌋οσ ὁ μελέ|αγροσ φοίνιξ|ἦν τ⌈ων⌉ ἀπὸ πα|λαιστίν⌈ησ⌉ ποὶ* (= *πόλεων*). | *ἐποίησεν δὲ | τὸν θαυμάσι° | τουτονὶ τῶν | τ⌈ων⌉* (per errorem repet. articul. in nova l.: *τὸν τῶν* ap. P.) *επιγραμμᾶ͂ | στεφανον: | συνεταξεν δὲ | αὖͅ* (= *αὐτὰ*) *καταστοιχεῖ° | ἀλλὰ κωνσταν͂ͅ | ὁ ἐπονομαζόμ̃ | κεφαλασ* (sic) *συνε|χεεν αὖͅ αφῶρί|σασ* (ω L supra add.) *εἰσ κεφαλ⌈αια⌉ δῖᾳ°* (= *διάφορα*) | *ἤγουν ἐρωτικὰ | ἰδίωσ: καὶ αναθεμα⌈τικα⌉ | καὶ επιτύμβια: καὶ | επιδεικτικὰ: ὡσ | νῦν ὑποτετακτ⌈αι⌉ | εν τῶ παρόντι | πτυκτίωι.* His subiunxit L^{2} p. 81 m^{e} haec: *ὁτι ο μελέαγροσ | γαδαρηνὸσ ἦν. | το γένοσ σύροσ: | ἐτελεύτησεν | ἐν κῶ τη νήσωι:* ~ Poetas coronae Meleagricae enumerat schol. alterum ab L scriptum p. 82 m^{e}: *οἱ τ⌈ων⌉ ἐπιγραμμᾶ͂ ποι|ητ⌈αὶ⌉ οὗσ συνῆξε μελέ|αγροσ ἐν τῶι παραντ⌈ου⌉ | πλακέντι στεφάνω: | σιμωνίδησ: ῥιαν⌈οσ⌉: | ἀλκαῖοσ: λεονίδησ: |*

ἄνυσε μὲν Μελέαγρος· ἀριζάλῳ δὲ Διοκλεῖ
μναμόσυνον ταύταν ἐξεπόνησε χάριν·
πολλὰ μὲν ἐμπλέξας Ἀνύτης κρίνα, πολλὰ δὲ Μοιροῦς
λείρια, καὶ Σαπφοῦς βαιὰ μέν, ἀλλὰ ῥόδα·
νάρκισσόν τε χορῶν Μελανιππίδου ἔγκυον ὕμνων,
καὶ νέον οἰνάνθης κλῆμα Σιμωνίδεω·
σὺν δ' ἀναμὶξ πλέξας μυρόπνουν εὐάνθεμον ἶριν
Νοσσίδος, ἧς δέλτοις κηρὸν ἔτηξεν Ἔρως·
τῇ δ' ἅμα καὶ σάμψυχον ἀφ' ἡδυπνόοιο Ῥιανοῦ,
καὶ γλυκὺν Ἡρίννης παρθενόχρωτα κρόκον,
Ἀλκαίου τε λάληθρον ἐν ὑμνοπόλοις ὑάκινθον,
καὶ Σαμίου δάφνης κλῶνα μελαμπέταλον·

ἀνύτη: μυρῶ: | σαπφῶ: μελάνιππ⌜ος⌝ | νοσσίς: ἥρινα (sic): | σαμμίας (P^{pc} σιμμίασ L^{ac}): μνάσαλξ (sic, id est μνάσαλκος) | πάμφιλος: παγκρᾶ | τύμνης: νικίας: | εὔφημος: δαμάγη: | καλλίμαχ: εὐφορίων: | ἡγήσιππος: πέρσευς (πέρσευς L^{ac}): | διότιμος: μενεκρατ⌜ης⌝: | νικαίνετος: σιμμίας: | παρθενίς: βακχυλιδ⌜ης⌝: | ἀνακρέων: ἀνθεμι⌜ος⌝ (nomen ortum ex v. 36 male intellecto): | ἀρχίλοχος: πολύκλη (potius quam πολύκλει) | ἀντίπατρος: ποσίδιππ⌜ος⌝ | ἡδυλλος: σικελίδ⌜ας⌝ (cf. ad v. 46): | πλάτων ὁ μέγας: | ἄρατος: χαιρήμων: | φαίδιμ⌜ος⌝: ἀνταγόρας: | θεοδωρίδ⌜ας⌝: φανίας: | ⌜καὶ⌝ αὐτὸς μελέαγρος | ἔγραψεν δε τον στέφ$^{\alpha}$ | προς διοκλέα. Tum sequitur ab L scriptum: ζτ τὴν ποὶ (= πόλιν) με|λε|άγρ⌜ου⌝ ἐν τῶ στεφ$^{\alpha}$; subiungit L^{2} p. 82 m^{e}: γαδαρηνὸς ἦν ὡσ | ἐν τοῖσ ἔμπροσθεν (scil. VII 417—419, Jac.) | αὐτὸσ ἑαυτοῦ (sic, non ἑαυτὸν) εμνη|μονευσεν: ηκμασ⌜εν⌝ επι σελευκου του | εσχάτου

p. 68, 8 ὑμνοθέταν A, corr. Reiske (ὑμνοθετῶν Graefe, qui doricas prooemii formas rariores expulit, incertus tamen an crebriores quae exstant ionicae rectius mutarentur in doricas; ὑμνοθέτας Vav.); de dorismo exordii dubitari nequit, et vix aliam hic, aliam in ipso catalogo dialectum Meleager consulto adhibuit

p. 69, 3 μοιροῦσ A (μυροῦσ Vavassor cum schol., v. ad 68, 6) 4 λειρία A | ἀλλαρόδα A 5 τε χορῶν P^{pc} τε χορὸν? A^{ac}, τε τορῶν Reiske, θ' ὑγρὸν (cf. A. P. V 73, 4) sive (νάρκισσον) τε χλόην? | ὕμνων P ὕμνον A^{ac} Vavassor 7 ἐν δ' Vav. | ἶριν ex ἴριν corr. P 8 δέλτοσ A, δέλτοισ ap. Lips.^{m} 10 ἠρίννησ A (eodem spir. L) 12 Σαμίου A, Samium cum Simia confundit L (v. ad 68, 6)

ἐν δὲ Λεωνίδεω θαλεροὺς κισσοῖο κορύμβους,
Μνασάλκου τε κόμας ὀξυτόρου πίτνος·
βλαισήν τε πλατάνιστον ἀπέθρισε Παμφίλου οἴμης,
σύμπλεκτον καρύης ἔρνεσι Παγκράτεος,
Τύμνεώ τ' εὐπέταλον λεύκην, χλοερόν τε σίσυμβρον
Νικίου, Εὐφήμου τ' ἀμμότροφον πάραλον·
ἐν δ' ἄρα Δαμάγητον ἴον μέλαν, ἡδύ τε μύρτον
Καλλιμάχου, στυφελοῦ μεστὸν ἀεὶ μέλιτος,
λυχνίδα τ' Εὐφορίωνος, ἰδ' ἐν Μούσῃσιν ἄμωμον,
ὃς Διὸς ἐκ κούρων ἔσχεν ἐπωνυμίην.
P 82 τῇσι δ' ἅμ' Ἡγήσιππον ἐνέπλεκε μαινάδα βότρυν,
Πέρσου τ' εὐώδη σχοῖνον ἀμησάμενος,
σὺν δ' ἅμα καὶ γλυκύμηλον ἀπ' ἀκρεμόνων Διοτίμου,
καὶ ῥοιῆς ἄνθη πρῶτα Μενεκράτεος,
σμυρναίους τε κλάδους Νικαινέτου, ἠδὲ Φαέννου
τέρμινθον, βλωθρήν τ' ἀχράδα Σιμίεω·
ἐν δὲ καὶ ἐκ λειμῶνος ἀμωμήτοιο σέλινα,
βαιὰ διακνίζων ἄνθεα, Παρθενίδος,
λείψανά τ' εὐκαρπεῦντα μελιστάκτων ἀπὸ Μουσέων
ξανθοὺς ἐκ καλάμης Βακχυλίδεω στάχυας·

---

1 λεωνί δε ωι A 2 ὀξυπόρου Vav. 3 βλαισῆς Heck. βλάστην τε πλατανίστου Herw. | οἴνης A (Heck.) οἴμης Graefe οὔλοις Jac. 5 τύμνεω τ' A | χροερόν A χλ. ap. L. 6 τ' ἀμμοτρόφον A 7 Δαμαγήτου Vav. 8 Καλλιμάχου P: erasus est accentus supra prius α; fort. Καλλίμαχον 9 λυχνίδα P λιχνίδα A^{ac} | ἄμεινον A, ἄμωμον Heyne (Μούσαις κυκλάμινον Boiss.) 10 versu non intellecto Dioscoridis nomen om. L 11 τῃσι ⌊δ'⌋ P, τῃσιν? A^{ar}, τοῖσι δ' Heck. | ἅμ' ἡγήσιππον A (genet. ap. L.) 12 πέρσου A, errat L: v. ad 68, 6 | σχῖνον Reiske 13 γλυκὺ μ⌊ῆ⌋λο⌊ν⌋ C γλυκὺ μέλος (non μάλου) A^{ar}; scripsi γλυκύμηλον 14 καί ῥ' οἵῃσ (sic) ἄνθη A ἄνθεα καὶ ῥοιῆς Graefe 15 μυρρηναίουσ A, corr. Salm. | ἠδὲ P ἡ δὲ A^{ac} 16 βρωτήν A, βλωθρήν Heck. | σιμίεω (simplici μ) A (geminata litt. L, cfr. Sternb. melet. 117) 17 Ἄμωμ. ut nom. poetae Reiske | σελίνου Heck. 18 δὲ καὶ κνιζῶν Reiske 19 εὐκαρπνεῦντα A, em. ap. L. | μουσῶν A, corr. Jac.

ἐν δ' ἄρ' Ἀνακρείοντα, τὸ μὲν γλυκὺ κεῖνο μέλισμα
νέκταρος, εἰς δ' ἐλέγους ἄσπορον ἀνθέμιον·
ἐν δὲ καὶ ἐκ φορβῆς σκολιότριχος ἄνθος ἀκάνθης
Ἀρχιλόχου, μικρὰς στράγγας ἀπ' ὠκεανοῦ·
τοῖς δ' ἅμ' Ἀλεξάνδροιο νέους ὄρπηκας ἐλαίης,
ἠδὲ Πολυκλείτου πορφύρεον κύαμον.
ἐν δ' ἄρ' ἀμάρακον ἧκε Πολύστρατον, ἄνθος ἀοιδῶν,
φοίνισσάν τε νέην κύπρον ἀπ' Ἀντιπάτρου·
καὶ μὴν καὶ Συρίαν σταχυότριχα θήκατο νάρδον
ὑμνοθετᾶν Ἑρμοῦ δῶρον ἀειδόμενον·
ἐν δὲ Ποσείδιππόν τε καὶ Ἡδύλον ἄγρι' ἀρούρης,
Σικελίδεώ τ' ἀνέμοις ἄνθεα φυόμενα.
ναὶ μὴν καὶ χρύσειον ἀεὶ θείοιο Πλάτωνος
κλῶνα, τὸν ἐξ ἀρετῆς πάντοθι λαμπόμενον.
ἄστρων τ' ἴδριν Ἄρατον ὁμοῦ βάλεν, οὐρανομάκευς
φοίνικος κείρας πρωτογόνους ἕλικας,
λωτόν τ' εὐχαίτην Χαιρήμονος, ἐν φλογὶ μίξας
Φαιδίμου, Ἀνταγόρου τ' εὔστροφον ὄμμα βοός,
τάν τε φιλάκρητον Θεοδωρίδεω νεοθαλῆ
ἕρπυλλον, κυάνων τ' ἄνθεα Φανίεω,

1 ἄρ A 2 *νεκταρέους δ' ἐλέγους* Herm. | *ἐν δ' ἐλέγους* Jac. | *εὔσπορον* Vav. 3 *ἐκ δὲ* A *ἐν δὲ* ap. L.^{m} | *φοβερῆς* Vav. 4 *πικρὰς* Hemsterhuys 5 *τοὐσδ' ἁμ'* A *τοῖς δ' ἅμ'* Heck. | *ὄρπικασ ἐλίησ* A, *ὄρπηκας ἐλαίης* ap. L. 6 *ἠδὲ* A *ἐν δὲ* Vavassor frustra | *πολύκλητος*? L (cfr. ad 68, 6) | *πορφυρέην κ⌊ύ⌋α⌊ν⌋ον* C *κναμον* (sic) A^{ar}, non *κύαμον* quod restituit Bothe; adiectivi forma mascul. opus esse vidit Sternb. 7 *ἐν δάρα μάρακον* A 8 *ἀπ αντι πάν τρου* A 9 *ναὶ μὴν* Salm. | *συρίην* ap. L. | *σταχυότριχα** P *σταχυότριχον* A^{ar} 10 *ὑμνοθέταν* A, cr. Graefe | *ἑρμοῦ* A: Hermodori nomen om. L (v. ad 68, 6) 11 *ποσίδιππόν* A (consent. L) | *ἤδυλον* A 12 Asclepiadem dici vidit Monnoye 13 *χρυσίον* A, corr. Vav. 16 *ἕλικασ* A 17 *λωτὸν τ'* A 19 *τάν τε* A *τὴν δὲ* ap. L. *τόν τε* Reiske | *φαλάκρητον* A, *φιλακρήτου* ap. L., corr. Reiske | *νεοθαλὴ* A *νεοθηλῆ* Graefe 20 *ἕρπυλον* A, corr. Vav. | *κυανῶν* A quod retinent Vav. et Sternb., *κυάνων* vulgo (*κυάμων* Purgold)

ἄλλων τ' ἔρνεα πολλὰ νεόγραφα· τοῖς δ' ἅμα Μούσης
καὶ σφετέρης ἔτι που πρώϊμα λευκόια.
ἀλλὰ φίλοις μὲν ἐμοῖσι φέρω χάριν· ἔστι δὲ μύσταις
P 83 κοινὸς ὁ τῶν Μουσέων ἡδυεπὴς στέφανος.

2. ΦΙΛΙΠΠΟΥ ΣΤΕΦΑΝΟΣ. A

Ἄνθεά σοι δρέψας Ἑλικώνια, καὶ κλυτοδένδρου
Πιερίης κείρας πρωτοφύτους κάλυκας,
καὶ σελίδος νεαρῆς θερίσας στάχυν, ἀντανέπλεξα
τοῖς Μελεαγρείοις ὡς ἵκελον στεφάνοις.
ἀλλὰ παλαιοτέρων εἰδὼς κλέος, ἐσθλὲ Κάμιλλε,
γνῶθι καὶ ὁπλοτέρων τὴν ὀλιγοστιχίην.
Ἀντίπατρος πρέψει στεφάνῳ στάχυς· ὡς δὲ κόρυμβος
Κριναγόρας· λάμψει δ' ὡς βότρυς Ἀντίφιλος·
Τύλλιος ὡς μελίλωτον· ἀμάρακον ὣς Φιλόδημος·
μύρτα δ' ὁ Παρμενίων· ὡς ῥόδον Ἀντιφάνης·

---

1 *νεότροφα* Jac., *νεόδροπα* Reiske, frustra utrumque 4 versus scriptus ab L p. 82 in m. inf., ab A idem p. 83, ubi signo delendi ϶ notatus est | *ὁ των* L ‖ 5 Philippi prooemio adscripsit haec L m^{e}: *ἕτερ⌜οσ⌝ στεφανοσ* | *φιλίππου θεσσαλο*|*νικέωσ*: *ὃν εποί*|*ησεν κατα μ⌊ί⌋μησ⌜ιν⌝* (*ϊ* in eraso *η*, *ιν* per comp., quod et *ην* significat) | *μελεάγρου*: *συνῆξ⌜εν⌝* | *δε καὶ αὖ* (*αὐτὸς* ap. L.) *απο τῶν* | *εμφερομενων* | *ποιητ⌜ῶν⌝*: *ἐξαντιπάτρ⌜ου⌝* | *ἀντιπάτῳ* (nomen per errorem repetitum in nova l.): *κριναγόρ⌜ου⌝* | *αντιφίλου*: *τυλλι⌜ου⌝* | *φιλοδήμ⌜ου⌝*: *παρμενίων⌜οσ⌝*: | *αντιφάν⌜ουσ⌝*: *αυτομεδῶν* (sic): | *ζωνᾶ*: *βιάνοροσ*: | *αντιγόνου*: *διοδωρ⌜ου⌝* | *εὐήνου καὶ αν⌜του⌝ φι*|*λίππου*: *ἔγραψεν δοῦτοσ ο φίλιππ⌜οσ⌝* | *τον στεφαν⌜ον⌝ προσ τιν⌜α⌝* | *κάμιλλον* ‖ 6 *ἑλικώνια* A 8 *νεανῆσ* A, corr. apogr. Lips. 9 *μελεαγρίοις* A, corr. ap. L. | *εἰς ἵκελον*? | *τούσδ' ἱκέλους στεφάνους* Herw. 11—12 nihil spatii inter duos vs. relictum est, sed claus. addita post *ὀλιγοστιχίην* (*ὁ λιγ.* A^{ac}, fort. *ἐλεγοστιχίην*: cet. cf. A. P. IX 342) et not. initialis ante *ἀντίπατροσ*; add. A lemma: *ἄλλοσ* 14 *τυλλίασ* A, corr. apogr. Lips. 15 *μύρθ' ὡς* Reiske (*μύρτα δ' ὡς* ap. L.; offendere potest articulus unius Parmenionis nomini additus: *μύρτα δὲ Π.*?)

κισσὸς δ' Αὐτομέδων· Ζωνᾶς κρίνα· δρῦς δὲ Βιάνωρ·
Ἀντίγονος δ' ἐλάη, καὶ Διόδωρος ἴον·
Εὐήνῳ δάφνην συνεπίπλεκε· τοὺς δὲ περισσοὺς
εἴκασον οἷς ἐθέλεις ἄνθεσιν ἀρτιφύτοις.

3. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΑΣΙΑΝΟΥ ΜΥΡΙΝΑΙΟΥ

συλλογὴ | νέων ἐπιγραμμάτων ἐκτεθεῖσα ἐν Κωνσταντί|νου πόλει πρὸς Θεόδωρον Δεκουρίωνα τὸν Κοσ|μᾶ· εἴρηται δὲ τὰ προοίμια μετὰ τὰς συνεχεῖς ἀ|κροάσεις τὰς κατ' ἐκεῖνο καιροῦ γενομένας. A t

Οἶμαι μὲν ὑμᾶς, ἄνδρες, ἐμπεπλησμένους
ἐκ τῆς τοσαύτης τῶν λόγων πανδαισίας,
ἔτι που τὰ σιτία προσκόρως ἐρυγγάνειν·
καὶ δὴ κάθησθε τῇ τρυφῇ σεσαγμένοι.
λόγων γὰρ ἡμῖν πολυτελῶν καὶ ποικίλων 5
πολλοὶ προθέντες παμμιγεῖς εὐωχίας,
περιφρονεῖν πείθουσι τῶν εἰθισμένων.
Τί δαὶ ποιήσω; μῶν τὰ προὐξειργασμένα

---

1 ζωνᾶς (sic) A | δε A 2 ἐλαίη και A ἐλάη καὶ ap. L. 3 εὐηνὼ A Εὐήνῳ δὲ ap. L.; Εὐήνου? (cfr. IV 1, v. 5. 10) | Εὔηνον δάφνῃ, συνεπιπλεκτοὺς δὲ Heck. probante Dübnero ‖ 5—9 scripsit A in textu; add. haec L m^{e}: ἀγᾶ σχολαστικ⌜ου⌝ | ασιαν⌜ου⌝ μυρι|ναίου | οὐ στέφαν⌜οσ⌝: ἀλλὰ | συναγωγὴ νέων | επιγραμμάτων· | ηκμασεν δ' οὗτοσ ὁ | αγα⌜θίασ⌝ επι ϊουστινιαν⌜ου⌝ | του μεγάλου: ἔγρα|ψεν δε καὶ ϊστορίαν | καὶ τα επονομαζό|μενα δαφνιακ$^{\alpha}$ | ἔγραψε δε ταυ⌜τα⌝ τα | επιγράμμα⌜τα⌝ προσ | θεοδωρον δεκου|ριωνα (cf. Weigand Mus. Rh. V 276) 6 sq. κωνσταντινου πολ A 7 δεοκουρίωνα A | κοσμᾶ∗ P κοσμᾶι A^{ar} 8 προοίμια P 10 οἶμαι A^{ac} | ⌊μὲ⌋ν P | ἄνδρ⌊εσ⌋ P ἄνδρασ ετ' A^{ar} 12 ἐρυγκάνειν A, corr. Visconti 13 καθῆσθε τῇ τρυφῇ A 14 ἡμῖν A, ὑμῖν Visc. 15 ⌊προ⌋θέντεσ P γὰρ θεντεσ A^{ar} 16 noli substituere πείθουσιν εὐτελεστέρων 17 τί δαὶ νῦν A τὶ δὲ νῦν Salm.; τί δαὶ (propos. a Jac.) scripsi: Agathias in prooemio (cfr. v. 13 sq. cum Aristoph. Pac. 21, Agath. 16 cum Plut. 325, Agath. 30 cum Eq. 55) Aristophanem imitatur (Av. 1640 τί δαὶ ποιῶμεν) | ποιήσομεν A, ποιήσω (Visc.); μῶν Jac., ποιήσω; μὴ Bothe; fort. ποιήσω; νῦν

οὕτως ἐάσω συντετῆχθαι κείμενα;
ἢ καὶ προθῶμαι τῆς ἀγορᾶς ἐν τῷ μέσῳ,
παλιγκαπήλοις εὐτελῶς ἀπεμπολῶν;
καὶ τίς μετασχεῖν τῶν ἐμῶν ἀνέξεται;
P 84 τίς δ' ἂν ρίαιτο τοὺς λόγους τριωβόλου,
6 εἰ μὴ φέροι πως ὦτα μὴ τετρημένα;
ἀλλ' ἔστιν ἐλπὶς εὐμενῶς τῶν δρωμένων
ὑμᾶς μεταλαβεῖν, κοὐ κατεβλακευμένως.
ἔθος γὰρ ὑμῖν τῇ προθυμίᾳ μόνῃ,
10 τῇ τῶν καλούντων, ἐμμετρεῖν τὰ σιτία.
καὶ πρός γε, τοῦτο δεῖπνον ἠρανισμένον
ἥκω προθήσων ἐκ νέων ἡδυσμάτων.
ἐπεὶ γὰρ οὐκ ἔνεστιν ἐξ ἐμοῦ μόνου
ὑμᾶς μεταλαβεῖν, ἄνδρες, ἀξίας τροφῆς,
15 πολλοὺς ἔπεισα συλλαβεῖν μοι τοῦ πόνου,
καὶ συγκαταβαλεῖν καὶ συνεστιᾶν πλέον.
καὶ δὴ παρέσχον ἀφθόνως οἱ πλούσιοι
ἐξ ὧν τρυφῶσι, καὶ παραλαβὼν γνησίως
ἐν τοῖς ἐκείνων πέμμασι φρυάττομαι.
20 τοῦτο δέ τις αὐτῶν προσφόρως, δεικνὺς ἐμέ,
ἴσως ἐρεῖ πρὸς ἄλλον· 'Ἀρτίως ἐμοῦ
μάζαν μεμαχότος μουσικήν τε καὶ νέαν,
οὗτος παρέθηκεν τὴν ὑπ' ἐμοῦ μεμαγμένην.'
ταυτὶ μὲν οὖν ἐρεῖ τις ⟨οὐκ ἐτὸς ψέγων⟩
25 τῶν ὀψοποιῶν, ὧν χάριν δοκῶ μόνος

---

1 αὕτως? 2 τῶ A 4 fort. ἐμῶν ἂν ἀξιοῖ 6 πῶσ A πωσ ap. Par. 7 exspectes εὐμενῶς τῶν δωρεῶν vel τῶν βρωμάτων 7 et 10 τῇ A 8 μεταλαβεῖν fort. illatum ex v. 22: ἀπολαύσειν? 10 ἐκμετρεῖν Boiss., συμμετρεῖν Dübn. 11 τούτῳ Boiss. 12 ἥκω A 14—15 ras. est inter ἀξ. τροφῆσ (14) et τοῦ πόνου (15) 24 οὐκ ἐτὸς ψέγων et οὐ κενῶσ ψοφῶν tentavi; οὐδὲ τῶν σοφωτάτων A οἶδα τῶν σοφῶν Jac. (σοφῶν iam Salm.); τὰ μὲν οὖν (ταῦτ' οὖν Huscke) ἐρεῖ τις ὧδε τῶν σοφωτάτων Heck. 25 ὀψοποιῶν A

εἶναι τοσαύτης ἡγεμὼν πανδαισίας.
θαρρῶν γὰρ αὐτοῖς λιτὸν οἴκοθεν μέρος
καὐτὸς παρέμιξα, τοῦ δοκεῖν μὴ παντελῶς
ξένος τις εἶναι τῶν ὑπ' ἐμοῦ συνηγμένων.
ἀλλ' ἐξ ἑκάστου σμικρὸν ἐξάγω μέρος,
ὅσον ἀπογεῦσαι· τῶν δὲ λοιπῶν εἰ θέλοι
τυχεῖν τις ἁπάντων καὶ μετασχεῖν εἰς κόρον,
ἴστω γε ταῦτα κατ' ἀγορὰν ζητητέα.
Κόσμον δὲ προσθεὶς τοῖς ἐμοῖς πονήμασιν,
ἐκ τοῦ βασιλέως τοὺς προλόγους ποιήσομαι·
ἅπαντα γάρ μοι δεξιῶς προβήσεται.
καί μοι μεγίστων πραγμάτων ὑμνουμένων
εὑρεῖν γένοιτο καὶ λόγους ἐπηρμένους.

3 b. Τοῦ αὐτοῦ. A

Μή τις ὑπαυχενίοιο λιπὼν ζωστῆρα λεπάδνου
βάρβαρος εἰς βασιλῆα βιημάχον ὅμμα τανύσσῃ·
μηδ' ἔτι Περσὶς ἄναλκις ἀναστείλασα καλύπτρην
ὄρθιον ἀθρήσειεν· ἐποκλάζουσα δὲ γαίῃ
καὶ λόφον αὐχήεντα καταγνάμπτουσα τενόντων
Αὐσονίοις ἄκλητος ὑποκλίνοιτο ταλάντοις.
Ἑσπερίη θεράπαινα, σὺ δ' εἰς κρηπῖδα Γαδείρων
καὶ παρὰ πορθμὸν Ἴβηρα καὶ Ὠκεανίτιδα Θούλην
ἧπιον ἀμπνεύσειας, ἀμοιβαίων δὲ τυράννων

---

2 θαρρὼν A 3 κ'αυτοσ (sic) A 5 εἰσάγω Heck. ἐξαρῶ Jac. 7 τίσ A 9 πονήμασι A 13—15 claus. est post ἐπηρμένους; incipit novum carmen in P a versu seq., cui lemma τοῦ αὐτοῦ add. A ‖ 15 ἐπαυχενίοιο Huschke | δικὼν Herw. 16 εἰς pro ἐς Sternb., qui eandem formam v. 7, 29, 44, 51 (ante consonas in arsi apud Agath.) restituendam vidit | βιήμαχον A, accentum corr. Dind. 17 μὴ δέτι A, μηδέ τι Boiss., μηδ' ἔτι Jac. 18 ὄρθιον P^{pc} ὀρθιων A^{ac} | ἐποκλάζουσα A, ὑποκλ. Chardon | γαίῃ A 21 συδ' A | ἐς A, εἰς Sternb. 22 θούλλην (ex θύλλην? factum) A, corr. Jac. 23 ἧπιον A

κράατα μαυρώσασα τεῇ κρυφθέντα κονίῃ,
θαρσαλέαις παλάμῃσι φίλην ἀγκάξεο Ῥώμην.
Καυκασίῳ δὲ τένοντι καὶ ἐν ῥηγμῖνι Κυταίῃ,
ὁππόθι ταυρείοιο ποδὸς δουπήτορι χαλκῷ
σκληρὰ σιδηρείης ἐλακίζετο νῶτα κονίης,
σύννομον ἀδρυάδεσσιν ἀναπλέξασα χορείην
Φασιὰς εἱλίσσοιτο φίλῳ σκιρτήματι νύμφη,
καὶ καμάτους μέλψειε πολυσκήπτρου βασιλῆος,
μόχθον ἀπορρίψασα γιγαντείου τοκετοῖο.
μηδὲ γὰρ αὐχήσειεν Ἰωλκίδος ἔμβολον Ἀργοῦς,
ὅττι πόνους ἥρωος ἀγασσαμένη Παγασαίου
οὐκέτι Κολχὶς ἄρουρα, γονῇ πλησθεῖσα Γιγάντων,
εὐπτολέμοις σταχύεσσι μαχήμονα βῶλον ἀνοίγει.
κεῖνα γὰρ ἦ μῦθός τις ἀνέπλασεν, ἦ διὰ τέχνης
οὐχ ὁσίης τετέλεστο, πόθων ὅτε λύσσαν ἑλοῦσα
παρθενικὴ δολόεσσα μάγον κίνησεν ἀνάγκην.
ἀλλὰ δόλων ἔκτοσθε καὶ ὀρφναίου κυκεῶνος
Βάκτριος ἡμετέροισι Γίγας δούπησε βελέμνοις.
οὐκέτι μοι χῶρός τις ἀνέμβατος, ἀλλ' ἐνὶ πόντῳ
Τρκανίου κόλποιο καὶ εἰς βυθὸν Αἰθιοπῆα
Ἰταλικαῖς νήεσσιν ἐρέσσεται ἥμερον ὕδωρ.
ἀλλ' ἴθι νῦν ἀφύλακτος ὅλην ἤπειρον ὁδεύων,
Αὐσόνιε, σκίρτησον, ὁδοιπόρε· Μασσαγέτην δὲ

---

1 μετρήσασα A μαυρώσασα tentavi | κρυφέντα cum θ scripto supra φ P, ῥιφθέντα Boiss. | κονίῃ A 2 ἀγκάξεο: ε in ras. scripsit, ο refecit C; ἀγκάξετο A^{ac} 3 ἐν ρηγμῖνι νυκταίῃι A, corr. Salm. 6 σύννομος? cfr. No. Di. 24, 26. 127 | ἀδρυάδεσσιν A Ἀδριάδεσσιν Visc. et Jac. 7 φασίας, εἰλίσσοιτο et νύμφηι A 9 μνῆστιν ἀπορρ.? cfr. Nonn. D. 47, 33 10 μη δε A | ἄργος A, corr. Visc. (et Jac., qui emendat. postea reiecit) 13 εὐπτολέμοισ ex εὐπτολέμοιο corr. P 15 ὁ τε λῦσσαν ἑλοῦσαν A, corr. Visc. et Jac. 18 ὑμετέροισι Visc. 19 malim οὐκέτι που (cfr. A. P. VII 204, 1); οὐκ. σοι Boiss. | χῶροσ τίσ A 20 ἐσ A | αἰθιοπῆα P αἰθιοπία A^{ac} 21 ἰταλικαῖσ A

ἀμφιθέων ἀγκῶνα καὶ ἄξενα τέμπεα Σούσων
Ἰνδῴης ἐπίβηθι κατ' ὀργάδος· ἐν δὲ κελεύθοις
εἴ ποτε διψήσειας, ἀρύεο δοῦλον Ὑδάσπην·
ναὶ μὴν καὶ κυανωπὸν ὑπὲρ δύσιν ἄτρομος ἕρπων
κύρβιας Ἀλκείδαο μετέρχεο· θαρσαλέως δὲ
ἴχνιον ἀμπαύσειας ἐπὶ ψαμάθοισιν Ἰβήρων,
ὁππόθι, καλλιρέεθρον ὑπὲρ βαλβῖδα θαλάσσης,
δίζυγος ἠπείροιο συναντήσασα κεραίη
ἐλπίδας ἀνθρώποισι βατῆς εὔνησε πορείης.
ἐσχατιὴν δὲ Λίβυσσαν ἐπιστείβων Νασαμώνων
ἔρχεο καὶ παρὰ Σύρτιν, ὅπη νοτίῃσι θυέλλαις
εἰς κλίσιν ἀντίπρωρον ἀνακλασθεῖσα Βορῆος
καὶ ψαφαρὴν ἄμπωτιν ὕπερ ῥηγμῖνι ἁλίπλῳ
ἀνδράσι δῖα θάλασσα πόρον χερσαῖον ἀνοίγει.
οὐδὲ γὰρ ὀθνείης σε δεδέξεται ἤθεα γαίης,
ἀλλὰ σοφοῦ κτεάνοισιν ὁμιλήσεις βασιλῆος,
ἔνθα κεν ἀίξειας, ἐπεὶ κυκλώσατο κόσμον
κοιρανίῃ· Τάναϊς δὲ μάτην ἤπειρον ὁρίζων
εἰς Σκυθίην πλάζοιτο καὶ εἰς Μαιώτιδα λίμνην.
τοὔνεκεν, ὁππότε πάντα φίλης πέπληθε γαλήνης,
ὁππότε καὶ ξείνοιο καὶ ἐνδαπίοιο κυδοιμοῦ
ἐλπίδες ἐθραύσθησαν ὑφ' ἡμετέρῳ βασιλῆι,
δεῦρο, μάκαρ Θεόδωρε, σοφὸν στήσαντες ἀγῶνα
παίγνια κινήσωμεν ἀοιδοπόλοιο χορείης.

---

1 ἀξένα A 2 ἰνδώησ A | κατοργάδοσ (praepositionem cum nom. suo more iungens) A, divisit Visc. 3 ὕασπιν A, corr. Visc. 4 ἕρπων A 6 ἀμ παύσειασ P ἀν (?) παύσειασ A^{ac} 7 βαλβίδα (ut 78, 19) A 11 ὅπηι A 12 ἐσ A 13 ὑπερ A ὕπερ Jac. | ρηγμῖνι ἁλίπλωι A, ῥ. παλίπλῳ Salm. (malim ῥ. παλίρρῳ); ὑπὲρ ῥηγμῖνος ἁλίπλοις Heck. 15 οὐδε A | ὀθνείησε A, sed σ supra η add. C 16 ἀλλα⌊σο⌋ φοῦ P ἄλλασ φου A^{ar} 17 ἐνθάκεν A 18 κοιρανίη A, dativ. rest. Visc. et Jac. 19 ἐσ bis A 20 π⌊ά⌋ντα: α in eraso o P 21 ξένοιο A ξείνοιο Jac.: ceterum cfr. A. P. IX 662, 3 ξείνων τε καὶ ἐνδαπίων

σοὶ γὰρ ἐγὼ τὸν ἄεθλον ἐμόχθεον· εἰς σὲ δὲ μύθων
ἐργασίην ἤσκησα· μιῇ δ' ὑπὸ σύζυγι βίβλῳ
ἐμπορίην ἤθροισα πολυξείνοιο μελίσσης·
καὶ τόσον ἐξ ἐλέγοιο πολυσπερὲς ἄνθος ἀγείρας,
στέμμα σοι εὐμύθοιο καθήρμοσα Καλλιοπείης,
ὡς φηγὸν Κρονίωνι καὶ ὁλκάδας Ἐννοσιγαίῳ,
ὡς Ἄρεϊ ζωστῆρα καὶ Ἀπόλλωνι φαρέτρην,
ὡς χέλυν Ἑρμάωνι καὶ ἡμερίδας Διονύσῳ.
οἶδα γὰρ ὡς ἄλληκτον ἐμῆς ἱδρῶτι μερίμνης
εὖχος ἐπιστάξειεν ἐπωνυμίη Θεοδώρου.
Πρῶτα δέ σοι λέξαιμι, παλαιγενέεσσιν ἐρίζων,
ὅσσαπερ ἐγράψαντο νέης γενετῆρες ἀοιδῆς
P 87 ὡς προτέροις μακάρεσσιν ἀνειμένα· καὶ γὰρ ἐῴκει
γράμματος ἀρχαίοιο σοφὸν μίμημα φυλάξαι.
Ἀλλὰ πάλιν μετ' ἐκεῖνα παλαίτερον εὖχος ἀγείρει
ὅσσαπερ ἢ γραφίδεσσι χαράξαμεν, ἤ τινι χώρῳ,
εἴτε καὶ εὐποίητον ἐπὶ βρέτας, εἴτε καὶ ἄλλης
τέχνης ἐργοπόνοιο πολυσπερέεσσιν ἀέθλοις.
Καὶ τριτάτην βαλβῖδα νεήνιδος ἔλλαχε βίβλου
ὅσσα θέμις τύμβοισι· τάπερ θεὸς ἐν μὲν ἀοιδῇ
ἐκτελέειν νεύσειεν, ἐν ἀτρεκίῃ δὲ διώκειν.

---

1 μύθων ex μῦθον (?) corr. C 4 καὶ τοσὸν ἐξελέγοιο A 5 στέμμα σ⌊οι⌋ P στέμμασι A^{ar} | καλλιοπίης A, corr. Salm. 6 ὁλκάδας A 8 ἑρμάωνι et διονύσσωι A 9 ἄληκτον A, em. Jac. 10 εὖχος: supra ος easdem litt. add. man. rec. 11—p. 79, 8 capitum numeri α' β' γ' δ' ε' ϛ' ζ' praefixi sunt m^{1} versibus 67, 71, 75, 79, 81, 83, 85 11 συλλέξαιμι Vavassor; noli σοι πλέξαιμι requirere cl. vs. 61 et V 293, 24 | παλαιγεενέσσιν (sic) A 12 ὁσσάπερ (at ὅσσάπερ 16) A | γενετῆρεσ: ετ ex στ corr., complures litt. refecit m. rec., quae totum versum in marg. inf. repetivit 13 εώικει A 15 ἀρήγει *** P^{pr}, ἀρηγείρει? A^{ar}, ÷ γρ. ἀγείρει (supra ἀρήγει) C, ἀείρει Vav., ἐγείρει Huschke | τὸ δεύτερον εὖχος ἀγείρει Jac. (an περαίτερον εὖχ.?), παλαίτερα τεῦχος ἀγ. Boiss. 16 χαραξαμένη τινὶ A, em. Jac. 17 ἐὐποίητον A 20 θέμεν Vav. | θέμις· τύμβοισι Boiss. | εὖ μὲν? 21 διώκειν Vav., διώκοι A

Ὅσσα δὲ καὶ βιότοιο πολυσπερέεσσι κελεύθοις
γράψαμεν ἀσταθέος τε τύχης σφαλεροῖσι ταλάντοις,
δέρκεό μοι βίβλοιο παρὰ κρηπῖδα τετάρτην.
Ναὶ τάχα καὶ πέμπτοιο χάρις θέλξειεν ἀέθλου,
ὁππόθι κερτομέοντες ἐπεσβόλον ἦχον ἀοιδῆς
γράψαμεν. Ἑκταῖον δὲ μέλος κλέπτουσα Κυθήρη
εἰς ὀάρους ἐλέγοιο παρατρέψειε πορείην
καὶ γλυκεροὺς ἐς ἔρωτας. Ἐν ἑβδομάτῃ δὲ μελίσσῃ
εὐφροσύνας Βάκχοιο φιλακρήτους τε χορείας
καὶ μέθυ καὶ κρητῆρα καὶ ὄλβια δεῖπνα νοήσεις.

4. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Στῆλαι καὶ γραφίδες καὶ κύρβιες εὐφροσύνης μὲν
αἴτια τοῖς ταῦτα κτησαμένοις μεγάλης,
ἀλλ' ἐς ὅσον ζώουσι· τὰ γὰρ κενὰ κύδεα φωτῶν
ψυχαῖς οἰχομένων οὐ μάλα συμφέρεται.
ἡ δ' ἀρετὴ σοφίης τε χάρις καὶ κεῖθι συνέρπει,
κἀνθάδε μιμνάζει μνῆστιν ἐφελκομένη.
οὕτως οὔτε Πλάτων βρενθύεται οὔτε Ὅμηρος
χρώμασιν ἢ στήλαις, ἀλλὰ μόνῃ σοφίῃ.
ὄλβιοι ὧν μνήμη πινυτῶν ἐνὶ τεύχεσι βίβλων,
ἀλλ' οὐκ εἰς κενεὰς εἰκόνας ἐνδιάει.

---

1 signum δ′ non huic versui adpictum, sed sequenti, v. ad v. 67 sq. | malim πολυστρεφέεσσι pro πολυσπερ. illato fort. ex v. 74 2 γραψαμὲν αστάθεόστε (sic) A^{ar}, corr. C 3 κρηπί⌊δ⌋α P 4 καὶ τάχα Vav. | θέλξειέ σ' Jac. 6 frustra μέρος vel τέλος coiceres | κυθήρη: ή in eraso ῆ (?) C 7 ὀάρους A 8 γλυκεροῖσ A, corr. Vav. 10 εὔια δεῖπνα? ‖ 14 seqq. adnotavit L m^{e}: ὅτι μόνη ἀρετὴ (acc. in ras.) | καὶ σοφία επακο|λου͡θ (ἐπακολουθοῦσι apogr. Par.) τοῖσ ἔχουσιν αὐ͡τ|ἐντευθεν αποιχο|μενοισ 16 noli ci. ἀρετῆς | κἀκεῖσε Reiske 17 μνῆ στι (sic) A, corr. ap. L. 18 οὔτε ὁμῆρος A οὔτ' ἄρ' Ὅμ. Jac., οὔτε γ' Ὅμ. ap. B^{m}.; an οὔτ' ἔθ' Ὅμ.? 19 χώμασιν ap. B^{m}. | μόνη σοφίη A 21 ἐσ A

V.

΄ΕΠΙΓΡΑΜΜΑΤΑ ΄ΕΡΩΤΙΚΑ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ.

⟨Prooemium Constantini Cephalae.⟩

Νέοις ἀνάπτων καρδίας σοφὴν ξέσιν,
ἀρχὴν Ἔρωτα τῶν λόγων ποιήσομαι·
πυρσὸν γὰρ οὗτος ἐξανάπτει τοῖς νέοις.

V. Epigrammata amatoria scripta sunt in Pal. p. 88—140 ab A; auctorum nomina add. tantum non omnia A, lemmata adposuit usque ad p. 104 L, inde a p. 105 pleraque C. Selecta ex amatoriis epigrammata recepit Planudes in libr. VII; in Marc. 481 continentur fol. 68^{v}—76^{r}, ubi Maximus titulum hunc praemisit: *ἐν τῷδε τῷ ἑβδόμῳ τμήματι περιέχεται ἑταιρικά τινα ἀποφθέγματα, τὰ μὲν ὡς ἐγκώμια, τὰ δ' ὡς | ἐπιστολαί, τὰ δ' ὡς ἂν ἕκαστον ἔτυχεν, ὅσα μὴ πρὸς τὸ ἀσεμνότερον καὶ αἰσχρότερον ἀποκλίνεται· τὰ γὰρ τοιαῦτα πολλὰ ἐν τῷ ἀντιγράφῳ ὄντα παρελίπομεν*. Ducenta duodecim epigrammata omnino continet Planudeae lib. VII: quorum unum est ex A. P. libro VI (383, Pl. n. 178), unum ex A. P. XV (35, Pl. n. 153^{c}); sedecim sunt ex A. P. XII (113. 234. 235. 19. 28. 47. 50. 51. 60. 82. 89. 103. 104. 136. 172. 239: i. e. Pl. VII n. 111. 113. 114. 186—198); ex eroticis Planudeae unum deest in cod. Pal. (Ap. Pl. XVI 388, i. e. Pl. VII n. 185); quae praeterea recepit Pl. epigr. amatoria (centum nonaginta tria) exstant omnia in Anth. Pal. libro V: cfr. praef. de Planudea 2—3 Titulo praemisit A verba haec: *φεύγετε νέοι παῖδα κυθήρης τοξοβολον ἔρωτα.* Titulum ipsum scripsit A in t. hunc: *ἐπιγράμματα ἔρωτι*, L alterum voc. in ἔρωτ⌊ι⌋κὰ (sic) mut., *διαφόρων ποιητῶν* add. in t.; ab eodem scr. p. 87 m^{e}: *αρ τῶν ἐρω|τικῶν ἐπι|γραμμάτων* atque p. 88 m^{s} *ἀρ τῶν ἐρωτικῶν ἐπιγραμμ⌊ά⌋των διαφορ ποιητῶν* 4 trimetros a Cephala prooemii loco epigrammatis prae-

8 1. *Εἰς Σθενελαΐδα | τὴν ἑταίραν.* L

Τὴν καταφλεξίπολιν Σθενελαΐδα, τὴν βαρύμισθον,
τὴν τοῖς βουλομένοις χρυσὸν ἐρευγομένην,
γυμνήν μοι διὰ νυκτὸς ὅλης παρέκλινεν ὄνειρος
ἄχρι φίλης ἠοῦς προῖκα χαριζομένην.
οὐκέτι γουνάσομαι τὴν βάρβαρον οὐδ' ἐπ' ἐμαυτῷ
κλαύσομαι, ὕπνον ἔχων κεῖνα χαριζόμενον. M 73v

Cor. Phil. 2. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ. A
1. 2—4. *Εἰς Χρύσιλλαν | τὴν ἑταίραν.* L

Ὄρθρος ἔβη, Χρύσιλλα, πάλαι δ' ἠῷος ἀλέκτωρ
κηρύσσων φθονερὴν Ἠριγένειαν ἄγει.
ὀρνίθων ἔρροις φθονερώτατος, ὅς με διώκεις
οἴκοθεν εἰς πολλοὺς ἠιθέων ὀάρους.
γηράσκεις, Τιθωνέ· τί γὰρ σὴν εὐνέτιν Ἠῶ
οὕτως ὀρθριδίην ἤλασας ἐκ λεχέων; M 72v

---

fixos esse vidit Jac. 5—7 *νέοισ ἀνάπτων* scr. A, cetera (partim in ras.) L 5 ⌊*καρδίασ*⌋ L *καρδίᾳ* Sternb. 6 *ἀρχὴν ἔρωτα* L^{pr} | post ⌊*λόγων π*⌋*οιήσομαι* ras. est in fine vs. 7 ⌊*πύρσ*⌋*ον* ⌊*γὰρ οὕτοσ ἐξανάπτ*⌋*ει* L | *τοῖσ* ⌊*λ*⌋*όγοις* P^{pc} *τοῖς νέοισ* L^{ac}

1 ep. est ap. Pl. VII 115 1 *τοῦ αὐτοῦ* (i. e. Meleagri, post A. P. XII 235) Pl: ep. vid. Marci Argent., ut ex Cor. Phil. deprompta sint epp. 1—4 | *ἑταῖραν* L: variat vocis scriptura ita, ut lemmata ab L scripta *ἑταῖραν*, illa quae C (a cod. p. 105) scripsit *ἑταίραν* exhibeant 2 *πολύμισθον* Pl^{E} idem sed cum *βαρύ* scripto supra *πολύ* Pl^{M} 3 *ἐρυγγανέμεν* Heck. *ἀμεργομένην* Jac. (*χρυσοῦ*) *ἐρεσσομένην* Dübn.; fort. *ἐρεπτομένην* (cfr. Arist. Eq. 1295) 4 *ὄ*⌊*νει*⌋*ρος* C *ὄμηρος* A^{ar} 5 *φίλη σ'* Herw. *φίλημ'* Polak *φάους* FG. Schmidt: fort. *βολῆς* | *χαριζόμενοσ* Pl 6 *οὐδεπεμαυτῶι* A^{ac} *οὐδ' ἐπ' ἐμ.* C Pl Suid. (s. v. *γουνάσομαι*); *ἐν ἐμ.* Heck. 7 *ἐχω* A, in *ἔχων* mut. C (*ἔχω* Br.) | *κεινὰ* C *κεῖνα* A^{ar} *κεῖνο* Pl | fort. *ποριζόμενον* || 8 ep. est ap. Pl. VII 162 8 *θε*⌊*σαλονικέωσ* A | *τοῦ αὐτοῦ* (sc. Antip. Thess. post A. P. V 29) Pl 10 *ἠῶοσ* C *ἠῶοσ* A^{ac} *ἠῷος* Pl^{M} 12 *φθονερώτατε* Pl 13 olim conieci *κοιτόθεν εἰς στυγνοὺς* (sive *πικρούς*) | in fine vs. erasa est claus. 14 *τιγὰρ* A, cr. C | *ἠώ* in *ἠῶ* mut. C 15 *ὀρθρι δί*⁎*ην* P^{pr} *ὀρθρι δίκην* A^{ar} ||

3. ΦΙΛΟΔΗΜΟΥ. A

* *Εἰς Φιλαινίδα | τὴν νεωτέραν.* L

Τὸν σιγῶντα, Φιλαινί, συνίστορα τῶν ἀλαλήτων
λύχνον ἐλαιηρῆς ἐκμεθύσασα δρόσου
ἔξιθι· μαρτυρίην γὰρ Ἔρως μόνος οὐκ ἐφίλησεν
ἔμπνουν· καὶ πηκτὴν κλεῖε, Φιλαινί, θύρην. M 72v
καὶ σὺ φίλει, Ξανθώ, με· σὺ δ', ὦ φιλεράστρια κοίτη,
ἤδη τῆς Παφίης ἴσθι τὰ λειπόμενα.

4. ΣΤΑΤΤΛΑΙΟΥ ΦΛΑΚΚΟΥ. A

Εἰς ἑταίραν τινά. L

Ἀργύρεον νυχίων με συνίστορα πιστὸν ἐρώτων
οὐ πιστῇ λύχνον Φλάκκος ἔδωκε Νάπῃ,
ἧς παρὰ νῦν λεχέεσσι μαραίνομαι, εἰς ἐπιόρκου
παντοπαθῆ κούρης αἴσχεα δερκόμενος.
Φλάκκε, σὲ δ' ἄγρυπνον χαλεπαὶ τείρουσι μέριμναι·
ἄμφω δ' ἀλλήλων ἄνδιχα καιόμεθα.

---

1 ep. est ap. Pl. VII 88 1 *τοῦ αὐτοῦ* (sc. Philodemi, post A. P. V 79) Pl 3 *συνΐστορα* ex *συνΐστορα* cr. C 4 ⌊ἐ⌋*κμεθύσασα* P 6 *ἐμπνοῦν* A^{ar} *ἔμπνουν* C | *πυκτὴν* A *τυκτὴν* Pl *πτυκτὴν* Jac. *πηκτὴν* Salm.; an *πυκνὴν* (cfr. Ξ 167)? | *θύραν* Pl 7—8 om. Pl, neglegit L 7 *φίλη* A *ει* supra *η* scr. C | *ξανθώ*⌊*με*⌋ C *ξανθῶι*? A^{ar} *Ξανθώ με* Huschke | *φιλεράστρι' ἄκοιτ*⌊*ϊ*⌋*σ* C *φιλεράστρια κοίτησ* (sic) A^{ar}, cr. G. Schneider 8 *παφ*⌊*ί*⌋*ης* C *παφείης* A^{ar} || 11 *συνΐστορα* P 12 *φλάκ*⌊*κ*⌋*οσ* C *φλάκιοσ*? A^{ar} | *ἔδωκεν ἄπνη* (acut. supra *α* rest. C) P, cr. Salm. (*ἔδωκε κόρῃ* Reiske, apographo L. quod *ἔδωκεν ὀπῇ* m^{e} exhibet nixus); in fine vs. erasa est claus. 13—16 quattuor vs. bis deinceps scripti sunt: scripsit A non cohaerentes cum primo disticho, sed trium linearum spatio separatos; in lacuna ab A relicta eosdem vs. collocavit J, ut primum distichum excipe-rent; versus ab A scriptos obelo suo (cfr. praef.) notavit C; duo disticha clausulae signo a primo segregata videbantur librario carmen peculiare initio destitutum 13 *πάρα* P (*ὃς παρὰ* ap. L.^{m}) | *τῆσ ἐπιόρκου* P, *εἰς ἐπ.* Bothe (*μαραίνομ'*) *ὁ τῆς ἐπιορκ.*

Cor. Mel. 5. ΚΑΛΛΙΜΑΧΟΥ. A. Pl

1. 5—7. *Εἰς Ἰωνίδα ἑταίραν | Καλλιγνώτου.* L

Ὤμοσε Καλλίγνωτος Ἰωνίδι μήποτ' ἐκείνης
ἕξειν μήτε φίλον κρέσσονα μήτε φίλην.
ὤμοσεν· ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.
νῦν δ' ὁ μὲν ἀρσενικῷ θέρεται πυρί· τῆς δὲ ταλαίνης
νύμφης ὡς Μεγαρέων οὐ λόγος οὐδ' ἀριθμός. M 75r

6. ΑΣΚΛΗΠΙΑΔΟΥ. A

Εἰς ἑταίραν Ἡρά|κλειαν. L

Λύχνε, σὲ γὰρ πτάραντα τρὶς ὤμοσεν Ἡράκλεια
ἥξειν κοὐχ ἥκει· λύχνε, σὺ δ', εἰ θεὸς εἶ,
τὴν δολίην ἀπάμυνον· ὅταν φίλον ἔνδον ἔχουσα
παίζῃ, ἀποσβεσθεὶς μηκέτι φῶς πάρεχε. M 73v

7. ΜΕΛΕΑΓΡΟΥ. A

⟨Εἰς μειράκιον.⟩

Νὺξ ἱερὴ καὶ λύχνε, συνίστορας οὔτινας ἄλλους
ὅρκοις, ἀλλ' ὑμέας εἱλόμεθ' ἀμφότεροι·

Polak; fort. *ὡς ἐπιόρκου* 15 *τήρουσι* J, in *τείρουσι* (A) mut. C | *μερίμναι* P^{ar} (utroque loco) *μέριμναι* C ‖

1 ep. est ap. Pl. VII 165; vs. 3 sq. exhibet Stob. Flor. 28, 3 2 *καλλιγνώστου* L 3 *καλλίγνω⌊σ⌋τος* P: *σ* in ras. C, eandem litt., sed parum distincte scripserat A^{ar}; *Καλλίγνωτος* Pl | *ποτ' ἐκείνης* PPl^{E} *ποτε κείνης* Pl^{M}: cf. A. P. VII 271. 519 4 *ἕξειν* A | *κρείσσονα* Pl 6 *δύνειν* PPl^{M}Pl^{s} Stob. *βαίνειν* Pl$^{1.a}$ 7 *ἀρσενικῶ⌊ι⌋* C *ἀρσενικῶν*? A^{ar} *ἄλλης δὴ* Pl 8 *οὐδ'* P Pl Suid. (s. v. *ὑμεῖς*) *οὔτ'* Br. ‖ 9 ep. est ap. Pl. VII 117 9 *τοῦ αὐτοῦ* (sc. Asclep., post A. P. V 144) Pl 11 *παῤῥεοῦσα* C *παρῥεοῦσα* A^{ar}; ego corr. ex VI 333,1 12 *ἥξειν* A | *κ'οὐχήκει* C *κουχήκει* A^{ac} *κοὐχ' ἥκει* Pl^{M} | *σύδ'* Pl^{M} 13 *ἐπάμυνον* Pl | *ὅτ' ἂν* C *ὅτὰν* A^{ac} 14 *παίζῃ* Pl^{M} ‖ 15 sqq. Pl. VII 89 15 *τοῦ αὐτοῦ* (sc. Philodemi, post A. P. V 3) Pl 16 *εἰς μειράκιον* scripsi; *εισ εταῖραν τινά* perperam L, cfr. ad 92, 16 17 *νῦξ* A | *οὔτινασ* ex *οὔτ.* corr. C 18 *εἱλόμεθ'* P

χὠ μὲν ἐμὲ στέρξειν, κεῖνον δ' ἐγὼ οὔποτε λείψειν
ὠμόσαμεν· κοινὴν δ' εἴχετε μαρτυρίην.
νῦν δ' ὁ μὲν ὅρκιά φησιν ἐν ὕδατι κεῖνα φέρεσθαι, 5
λύχνε, σὺ δ' ἐν κόλποις αὐτὸν ὁρᾷς ἑτέρων. M 72v

8. ΡΟΥΦΙΝΟΥ. A

Εἰς Ἐλπίδα εἴτε | ἑταίραν τινὰ εἴτε | τὴν ⟨εὐνέτιν τὴν⟩ οὕτω καλουμένην. | ἐρωτικόν. L

Ῥουφῖνος τῇ μὴ γλυκερωτάτῃ Ἐλπίδι πολλὰ
χαίρειν, εἰ χαίρειν χωρὶς ἐμοῦ δύναται· M 74r
οὐκέτι βαστάζω, μὰ τὰ σ' ὄμματα, τὴν φιλέρημον
καὶ τὴν μουνολεχῆ σεῖο διαζυγίην·
ἀλλ' αἰεὶ δακρύοισι πεφυρμένος ἢ 'πὶ Κορησσὸν 5
ἔρχομαι ἢ μεγάλης νηὸν ἐς Ἀρτέμιδος·
αὔριον ἀλλὰ πάτρη με δεδέξεται· ἐς δὲ σὸν ὄμμα
πτήσομαι, ἐρρῶσθαι μυρία σ' εὐχόμενος. M 75r

Fr. Cor. Mel.? ep. 9—10.

9. ΑΛΚΑΙΟΥ. A

Εἰς Ἔρωτα. L

Ἐχθαίρω τὸν Ἔρωτα· τί γὰρ βαρὺς οὐκ ἐπὶ θῆρας
ὄρνυται, ἀλλ' ἐπ' ἐμὴν ἰοβολεῖν κραδίην;

---

1 χ'ὠ μὲν ex χὠ μὲν C 3 ὅρκια A^{ac} sicut ὅρκοις p. 83, 18 | φησὶν P Pl^{M} | γράφεσθαι Polak; an γεγράφθαι? 4 σύ δ' Pl^{M} | αὐτ⌊ὸ⌋ν C αὐτῶν A^{ar} | ὁρᾶσ A | ἑτέρων P^{ac} ‖ 5 cf. Pl. VII 137 et VII 174; unum diremit in duo epigr. Pl: prius (v. 1 et 2) inscrib. τοῦ αὐτοῦ (sc. Rufini, post A. P. V 93), alterum (post A. P. V 124) ἄδηλον 6 ελπιδα L | τινὰ εἴτε τ⌈ην⌉ ουτ̄ καλουμεν⌈ην⌉ (καλομεν⌈ον⌉ L^{ar}) P 8 τῆι μῆι P τῇ 'μῇ Pl^{M} | γλυκερωτάτη P 9 δύνασαι Pl; erasa est post δύναται in P clausula; peculiare igitur epigr. primum distichon erat olim in P sicut apud Pl 10 ὄμματ' ἄλην Herw. 11 μουνολ⌊ε⌋χῆ C μουνολοχὴ A^{ar} 12 ἢ 'πὶ Κορησσὸν Heck.; ἢ ἐπιορκήσων P (spir. supra ε add. C), $Pl^{M}Pl^{1.a}$ (ἢ ἐπιορκῶ $Pl^{b\cdot s}$) 14 post αὔριον perperam interpung. A C Pl | πᾶτρη C (erasa est not. ˣ in m^{e}) πατρι A^{ac} | ὄμμα C ὅμμα A^{ac} ἄμμα Sternb. 15 μυρίοσ C μυρίασ A^{ac} et Pl^{M} μυρία σ' Pl^{E} ‖ 16 sqq. Pl. VII 166 16 ἀλκαίου ex ση-

τί πλέον, εἰ θεὸς ἄνδρα καταφλέγει; ἢ τί τὸ σεμνὸν
δῃώσας ἀπ' ἐμῆς ἆθλον ἔχει κεφαλῆς; M 75r

10. ΑΔΕΣΠΟΤΟΝ. A

Εἰ τοὺς ἐν πελάγει σώζεις, Κύπρι, κἀμὲ τὸν ἐν γᾷ
ναναγόν, φιλίη, σῶσον ἀπολλύμενον. M 76r

11. ΡΟΥΦΙΝΟΥ. A

Εἰς Προδίκην | ἑταίραν. L

Λουσάμενοι, Προδίκη, πυκασώμεθα, καὶ τὸν ἄκρατον
ἕλκωμεν κύλικας μείζονας αἰρόμενοι.
βαιὸς ὁ χαιρόντων ἐστὶν βίος· εἶτα τὰ λοιπὰ
γῆρας κωλύσει, καὶ τὸ τέλος θάνατος. M 74r

12. ΦΙΛΟΔΗΜΟΥ. A

Εἰς ἑταίραν τινὰ | Χαριτώ. L

Ἑξήκοντα τελεῖ Χαριτὼ λυκαβαντίδας ὥρας·
ἀλλ' ἔτι κυανέων σύρμα μένει πλοκάμων,

καίου (sive *σικαίου*) corr. Pl^{M} *Σηκαίου* Pl^{E} 19 *ἀλλ' ἐπεμὴν* ex *ἀλλεπεμὴν* C | *ἰοβολ⌊εῖ⌋* C cum Pl *ἰοβολειν* (?) A^{ar} *ἰοβολεῖν* Br.
1 *καταστρέφει*? | *τοσεμνόν* A^{ac} 2 *δηώσας* A *ι* post *η* inser. C | *ἀπεμῆσ* A^{ac} | *ἄθλον* P ‖ 3 sqq. Pl. VII 199 3 lemma om. Pl; ep. aut Posidippo tribuerim aut (cum Sternb.) Asclepiadi | num. *ι* adpinxit C m^{e} 4 *σώζεισ* P Pl | *καμὲ* P 5 *ναυηγὸν φιλίης* Pl | *φιλία* Jac. ‖ 6 ep. est ap. Pl. VII 143 6 *τοῦ αὐτοῦ* (sc. Rufini, post A. P. V 35) Pl 8 *προδόκη* A (et Suid s. v. *πυκάζει*), *προδίκη* cr. C (*ί* supra *ό* scripto) et Pl 9 *ἕλκ̆ωμεν* ex *λκωμεν* C | *ἀράμενοι* Pl 10 *ἐστὶ–* (= *ἐστὶν*) A idemque Pl^{M} *ἐστὶ* Pl^{E} | *ταλοιπὰ* A 10 sq. *τὰ λυγρὰ γῆρας πόλλ' οἴσει* FG. Schmidt 11 *γῆρας καὶ νοῦσοι*? ‖ 12 sqq. cf. Pl. VII 93: om. Pl. distich. alterum et quartum 12 *τοῦ αὐτοῦ* (sc. Philodemi, post A. P. V 24) Pl 13 *χαριτῶ* L 14 *χα-*$^{\tau\eta}_{\rho\iota}$*⌊ῶ⌋* P: *τῶ* (ex *τὼ* cr.) C idemque supra scr. *τη*, *χάριτι* A^{ar} (erasum est signum etiam supra *ρι*); *χαριτὼ* Pl^{M} *Χαρικλὼ* Pl^{I} Pl^{a} in t. (sed *ἐν ἄλλῳ Χαριτὼ γράφεται* Pl^{a} in *ἐπιδιορθ.*) | *λυκαβαντίδασ* (′C) *ὥρασ* (*ὥρασ* A^{ac}) P *λυκάβαντος ἐς ὥρας* Pl

κἀν στέρνοις ἔτι κεῖνα τὰ λύγδινα κώνια μαστῶν
ἕστηκεν, μίτρης γυμνὰ περιδρομάδος,
καὶ χρὼς ἀρρυτίδωτος ἔτ' ἀμβροσίην, ἔτι πειθὼ
πᾶσαν, ἔτι στάζει μυριάδας χαρίτων.
ἀλλὰ πόθους ὀργῶντας ὅσοι μὴ φεύγετ', ἐρασταί,
P 90 *δεῦρ' ἴτε, τῆς ἑτέων ληθόμενοι δεκάδος.* M 72v

13. ΡΟΥΦΙΝΟΥ. A

Εἰς Εὐρώπην, | *τὴν ἑταίραν.* L

Εὐρώπης τὸ φίλημα καὶ ἦν ἄχρι χείλεος ἔλθῃ,
ἡδύ γε, κἂν ψαύσῃ μοῦνον ἄχρι στόματος.
ψαύει δ' οὐκ ἄκροις τοῖς χείλεσιν· ἀλλ' ἐρίσασα
τὸ στόμα, τὴν ψυχὴν ἐξ ὀνύχων ἀνάγει. M 74r

14. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς | *Μελίτην ἑταίραν.* L

Ποῦ νῦν Πραξιτέλης; ποῦ δ' αἱ χέρες αἱ Πολυκλείτου,
αὐταῖς πρόσθε τέχναις πνεῦμα χαριζόμεναι;

1—2 vs. om. Pl. 1 κ'εν P κἦν Suid. edd. s. v. κωνοειδὲς et λύγδινα (sed κἐν utroque loco Suid.A) κἀν Kaibel | κώνεια s. v. κωνοειδὲς Suid.A, s. v. λύγδινα Suid.A.E; κωνία Br. 2 ἔστηκεν A | μήτρησ P μίτρης Suid. (μέτρης Suid.B.E) | περιτρομάδος Suid. 3 χρῶς P | ἀμβροσίη P PlM Pl1.a, accusativum Plb.s | πειθὼ C πειθῶ? Aac 4 πᾶσάν P (sc. πᾶσαν A πᾶσιν C), πάσασ PlM πᾶσιν Pls.w (sed εὕρηται δὲ καὶ πάσας γεγραμμένον schol.w) | ἔτι στάζει A: ante ἔτι signum ÷ adposuit C, qui me adnot.: γρ. ἀπὸ στάζει; cum A faciunt PlM Pls et in ἐπιδιορθ. Pla, ἐπιστάζει Pl1 et in t. Pla (πᾶς ἔτ' ἀποστάζει Kaibel; πάμπαν ἔτι στ.?) 5 sq. om. Pl. 5 φλέγετ' A, em. Salm. 6 noli rep. δεῦρ', ἕκτης ‖ 7 sqq. cf. Pl. VII 144 7 τοῦ αὐτοῦ (sc. Rufini, post A. P. V 11) Pl 8 ευρῶ την L 9 φίλαμα P, cr. Pl | ἦν ex ἦν (sive ἢν) cr. C | ἔλθη P PlM 10 ἡδύγε A ἥδει PlM Pla.s ἡδὺ Pl1 ηδη Plw | κ'ἂν P κἂν PlM | ψαύη PlM ψαύῃ PlE | ἄκρου pro ἄχρι Jac. 11 ἀλλερίσασα Aac ἀλλ' ἐρ. C | ἐρεί̈σασα PlM (qui videlicet ἐρεισασα et in ἐρίσασα et in ἐρύ-

τίς πλοκάμους Μελίτης εὐώδεας ἢ πυρόεντα
ὄμματα καὶ δειρῆς φέγγος ἀποπλάσεται;
ποῦ πλάσται; ποῦ δ' εἰσὶ λιθοξόοι; ἔπρεπε τῇδε
μορφῇ νηὸν ἔχειν, ὡς μακάρων ξοάνῳ. M 74r

15. ΜΑΡΚΟΥ 'ΑΡΓΕΝΤΑΡΙΟΥ. AL

Εἰς 'Αρίστην τὴν ἑταίραν. L

Μήνη χρυσόκερως δέρκῃ τάδε καὶ περιλαμπεῖς
ἀστέρες, οὓς κόλποις 'Ωκεανὸς δέχεται,
ὥς με μόνον προλιποῦσα μυρόπνοος ᾤχετ' 'Αρίστη;
ἑκταίην δ' εὑρεῖν τὴν μάγον οὐ δύναμαι.
ἀλλ' ἔμπης αὐτὴν ζητήσομεν, ἣν ἔπι πέμψω
Κύπριδος ἰχνευτὰς ἀργυρέους σκύλακας. M 74v

16. ΓΑΙΤΟΥΛΙΚΟΥ. A

Εἰς ἑταίραν τινά. | *ἐρωτικόν.* L

'Αγχιάλου ῥηγμῖνος ἐπίσκοπε, σοὶ τάδε πέμπω
ψαιστία καὶ λιτῆς δῶρα θυηπολίης.

σασα mut.) ἐρείσασα Pl[1] et in t. Pl[a] (ἐριύσασα in ἐπιδιορθ. Pl[a]) ἐρύσασα Pl[s]; ἐπιθεῖσα s. ἐφίσασα? ‖ 13 sqq. cf. Pl VII 145 16 αὐταῖσ A Pl[1] αἳ ταῖς Pl[M] Pl[a.s]; ἄπνοις s. ἀβραῖς?

1 *τί πλοκάμουσ* A *τίσ πλ.* cr. C | post *πυροέντα* erasum est voc. *ὄμματα* 2 *ἀποπλάσεται* A, in *ἀπὸπλ.* mut. C 3 τ[οίη] C *τῆ*.. A[ar] *τῇδε* Pl 4 *ξοάνων* P *ξόανον* Pl, em. Salm. ‖ 5 sqq. ep. est ap. Pl. VII 157 5 *μάρκου ἀρ* A *γενταρι[ου]* add. L; Pl consentit cum P (*Μάρκου* more suo Pl[1]) 6 *εισαρίστην* L 7 *χρυσόκερως* P Pl (*χρυσόκερος* Pl[a] in t., sed *χρυσόκερως* Pl[a] in epid.) | *δέρκει* P *δέρκῃ* Pl *δέρκευ* Heck. | *περιλάμπει* P *πυριλαμπεῖς* Pl, corr. Heck. 8 *ἀστέρασ* P, em. Pl 9 *ὥσ γε* P *ὥς με* Pl | *μυρίπνοος* Pl | *ὤι χετ'* ex *ὦι χετ'* rest. C, *ὤχετ'* Pl[M] | *ἀρίστη*: litt. *ίστη* m[2] add. in Pl[M] 10 *ἑκταίην* ex *ἐκταίην* corr. C | *μάχλον* Boiss. 11 *ἀγρεύσομεν* Br.; *θηρήσομεν*? | *ἣν* P[pc] (et Pl), *ἦν* A[ac] quod restitui (*ἦ ῥ'* Jac.) | *ἐπὶ πέμψω* C *ἐπιπέμψω* A[ac] et Pl 12 *ἰχνευτὰς* C *ἰχνευτάς* A[ar] | *κάλυκασ* P, em. Pl | explicandi causa add. Pl[M] m[1]: *ἤτοι ἀργύριον δῶρα*, unde Pl[a] adnotat in epid.: *ἔτι τὸ ἀργυρέους σκύλακας ἐν ἄλλῳ ἀργύριον δῶρα γρ.* ‖ 13 *γαιτου[λλίου]* L, *γαιτοῦ λικου* A[ar] 16 *λιτῆσ* (Suid. s. *ψαιστά*) ex *λιτίσ* cr. C | *δράγμα* (cf. VI 190, 6)?

αὔριον Ἰονίου γὰρ ἐπὶ πλατὺ κῦμα περήσω,
σπεύδων ἡμετέρης κόλπον ἐς Εἰδοθέης.
οὔριος ἀλλ' ἐπίλαμψον ἐμῷ καὶ ἔρωτι καὶ ἱστῷ,
δεσπότι καὶ θαλάμων, Κύπρι, καὶ ἠιόνων.

17. ΡΟΥΦΙΝΟΥ. A

Ἐρωτικόν· | προκρῖνον τὰς δούλας | τῶν ἐλευθέρων. AL

Μᾶλλον τῶν σοβαρῶν τὰς δουλίδας ἐκλεγόμεσθα,
οἱ μὴ τοῖς σπαταλοῖς κλέμμασι τερπόμενοι.
ταῖς μὲν χρὼς ἀπόδωδε μύρου, σοβαρόν τε φρύαγμα
καὶ μέχρι κινδύνου ἑσπομένη σύνοδος.
ταῖς δὲ χάρις καὶ χρὼς ἴδιος καὶ λέκτρον ἑτοῖμον,
δώροις ἐκ σπατάλης οὐ σελαγιζόμενον.
μιμοῦμαι Πύρρον τὸν Ἀχιλλέος, ὃς προέκρινεν
Ἑρμιόνης ἀλόχου τὴν λάτριν Ἀνδρομάχην. Ap. 48

---

1 ἰ⌊ο⌋νίου Ppr ἰωνίου A^{ar} | ἐπιπλατὺ A 2 ὑμετέρ⌊η⌋ς C ὑμετέροις A^{ar} ἡμετέρης Heinsius (an ἱμερτῆς?) 3 ἀλλετίλαμψον A^{ac} 4 * δεσπότι: * et ' C | ἠϊόνων cum acc. supra ϊ eraso P ‖ 5 sqq. Ap. Barb. Vat. n. 48 (Ap^{m} p. 611, Ap^{v} f. 74^{v}) 5 ρουφίνου A Ap ἄδηλον Laur. 31, 28 (nullo auctoris nomine Ambros. A 161 sup., Vat. 1372) 6 ἐρ: ~ A in ἐρω⌜τικον⌝ mut. L, προκρίνοντ⌜ας⌝ δουλ τῶν ἐλ. addens; C adiunxit claus. erasa: ·/· (ἔστι) δὲ ἡ τ γράμμα ἔν|νοια ὡς αριστα εχ⌜ου⌝σα 7 σοβάδων Sternb. | τίς Ap^{m} | ἐκλεγόμεσθα ex ἐκλεγώμεθα corr. C ἐκλεγόμεθα Ap Ambr. 8 *σπατάλοισ ex ἀπαταλοῖσ corr. C, cum C congruunt Laur. Vat. Ambr.; σπατάλων Ap (σπαταλῶν Sternb.), σπατάλης sched. Thryll. 9 τοῖς Ap^{m} τῆς Ap^{v} | χρῶς (ut 11) A 10 καὶ μετὰ Heck. (Dübn.) | κινδύνου libri: κινδύνων Reiske (κοὐ δίχα κ. FG. Schmidt), κερδαίνουσ' Sternb. (malim κεν συλῶσ' vel σ' ἐκδύσουσ') | ἑσπομένη P ἐσπομένη Ap^{m} ἔσσομένη Laur. Vat. Ambr.; κλεπτομένη Dübn. 11 τῆσδε Ap^{m} | ἑτοῖμον P ἔτοιμον Ap ἕτοιμον reliq. 12 om. Ap | ἐκ σπατάλοις P ἐκ σπατάλης Laur. καὶ σπατάλης ap. L.^{m} (δώρων καὶ σπ. Heinsius); ἐν σπαταλοῖς Boiss., ἐκπάγλοις Reiske | οὐκαλεγιζόμενον P, οὐκ ἀλ. Laur. οὐκ ἀγλαϊζόμενον vel ἀγοραζόμενον vel οὐ μεγαλιζόμενον Jac., (δώροις ἐν σπαταλοῖς) οὐκ ἀλογιζομέναις Heck., οὐκ ἀλεγυνόμενον Sternb.; conieci οὐ πελαγιζόμενον et οὐ σελαγιζόμενον

18. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Ἐρωτικὸν | ἀλλόκοτον. L

Οὐκέτι παιδομανής, ὡς πρίν ποτε, νῦν δὲ καλοῦμαι
θηλυμανής, καὶ νῦν δίσκος ἐμοὶ κρόταλον.
ἀντὶ δέ μοι παίδων ἀδόλου χροὸς ἥρεσε γύψου
χρώματα καὶ φύκους ἄνθος ἐπεισόδιον.
βοσκήσει δελφῖνας ὁ δενδροκόμης Ἐρύμανθος,
καὶ πολιὸν πόντου κῦμα θοὰς ἐλάφους.

19. ᾽ΟΝΈΣΤΟΥ. A. Pl

Ἐρωτικὴ πα|ραίνεσις. L

Οὔτε με παρθενικῆς τέρπει γάμος οὔτε γεραιῆς·
τὴν μὲν ἐποικτείρω, τὴν δὲ καταιδέομαι.
εἴη μήτ᾽ ὄμφαξ μήτ᾽ ἀσταφίς· ἡ δὲ πέπειρος
ἐς Κύπριδος θαλάμους ὡρία ἁδροσύνη.

20. ῾ΡΟΥΦΊΝΟΥ. A

Εἰς Προδίκην | ἑταίραν. L

Οὐκ ἔλεγον, Προδίκη, γηράσκομεν; οὐ προεφώνουν,
ἥξουσιν ταχέως αἱ διαλυσίφιλοι;

(cl. Greg. Naz. Patrol. 37, 439, 4) 13 sq. vs. a prioribus separat Sternb. 13 *ἀχιλλέως* Ap 14 *ἑρμιόνης* (Ap^{m}) in *ἑρμιόνης* mut. C | *αλόχον* Ap^{m} ||

1 sqq. Pl. VII 139 1 *τοῦ αὐτοῦ* (post A. P. V 8) Pl 2 *ερωτι⌜κον⌝* L 3 *πρὶν ποτέ* A | *νῦν δε* A *καὶ νῦν* Suid. s. v. *κρόταλος* 4 *κρόταλον* P Suid. (s. v. *κρόταλος* et s. v. *δισκεύων*) et Pl, sed *γρ. καὶ κρόταλος* schol.^{w}, confusa Suidae glossa abutens 5 *ἀντι δέμοι* P (accent. A, manifestiorem add. C), *ἀντὶ δέ μοι* Pl^{M} (*δ᾽ ἐμοὶ* Br.) 6 *χρώματα* P et Suid.$^{A.E.V}$ (s. v. *ἐπεισόδιον*), *χρίσματα* Suid.$^{ed.}$ et Pl | *φυκοῦσ* A^{ar} | *ἐπεισόδιον* A *ἐπ᾽ εἰσόδιον* C || 9 ep. est ap. Pl. VII 167 9 On. Corinthii? 11 *οὐτέ* A^{ar} *οὔτέ* C Pl^{M} | *γηραιῆσ* A, cr. Pl 12 *ἐποἰκτείρω* et *καταἰδέομαι* ex *ἐποικτείρω* et *καταιδέομαι* mut. C (de huius generis mutationibus cfr. praef.) | *την δὲ* P 13 *μητ᾽ ὁμφαξ* A^{ac} | *μὴτ᾽ ⌞ἀστ⌟αφίσ* C *μητ᾽ ω ταφὶσ* A^{ar} 14 *Κύπριδος ἐς* Heyne | *ὥρια* P Pl |

νῦν ῥυτίδες καὶ θρὶξ πολιὴ καὶ σῶμα ῥακῶδες
καὶ στόμα τὰς προτέρας οὐκέτ' ἔχον χάριτας.
μή τίς σοι, μετέωρε, προσέρχεται, ἢ κολακεύων
λίσσεται; ὡς δὲ τάφον νῦν σε παρερχόμεθα. M 74v

21. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Εἰς Βοῶπιν | τὴν ἑταίραν. L

Σοί με λάτριν γλυκύδωρος Ἔρως παρέδωκε, Βοῶπι,
ταῦρον ὑποζεύξας εἰς πόθον αὐτόμολον,
αὐτοθελῆ, πάνδουλον, ἑκούσιον, αὐτοκέλευστον,
αἰτήσοντα πικρὴν μήποτ' ἐλευθερίην,
ἄχρι φίλης πολιῆς καὶ γήραος· ὄμμα βάλοι δὲ
μήποτ' ἐφ' ἡμετέραις ἐλπίσι βασκανίη. M 74v

Fr. Cor. Mel.? ep. 22—24. 22. ΚΑΛΛΙΜΑΧΟΥ. A

Εἰς Κωνώπιον | τὴν ἑταίραν. L

Οὕτως ὑπνώσαις, Κωνώπιον, ὡς ἐμὲ ποιεῖς
κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις.
οὕτως ὑπνώσαις, ἀδικωτάτη, ὡς τὸν ἐραστὴν
κοιμίζεις· ἐλέου δ' οὐδ' ὄναρ ἠντίασας.

καλλοσύνη P Pl ἀνθοσύνη Jac. ἁβροσύνη Polak ἁδροσ. ego (an ἦρα ρε καλλ.? cfr. Od. δ 777) ‖ p. 89 15 sqq. Pl. VII 146 15 τοῦ αὐτοῦ (Rufini, post A. P. V 14) Pl | num. κ epigr. adpinxit C m^{e} 16 προδίκ⌜ην⌝ L 17 προδόκη A, corr. (ι supra ό scripto) C | προέφώνουν P: spir. C 18 ἤξουσιν A (ἤξουσι Pl^{1}) 3 μήτις σοι Pl^{M} | κολακευτῶν P, cr. Pl ‖ 5 sqq. cfr. Pl. VII 147

5 αὖ A 7 βοῶπι A (Grotius) 8 γαῦρον P Pl, cr. Br. | εἰς πόνον Jac., εὔλοφον? 9 αὐτοθελὴ A, cr. C | ἑκούσιον A 11 φίλη Jac., an φόβης? | βάλοι δε P^{pr} βάλοι δὲ A^{ar} Pl^{M} Suid.^{C} (s. Παλαμήδης) βάλλοι δὲ Pl^{a} Suid. excepto cod. C δὲ βάλλοι Bentl. 12 ἐφημετέραισ P ἐφ' ἡμέραις Suid. praeter cod. C ‖ 13 sqq. ap. Pl. VII 140

13 καλλιμα A τοῦ αὐτοῦ (Rufini, post A. P. V 96) Pl 14 κωνωπῖ L 15 ὑπν⌊ώ⌋σαισ C ὑπνήσαισ A^{ar} 16 τοῖσ δε παρα προθύροισ P: 'C 18 ὅναρ A^{ac} | ἠντίασασ P Pl, ἠντίασα Boiss.

γείτονες οἰκτείρουσι· σὺ δ' οὐδ' ὄναρ. ἡ πολιὴ δὲ
αὐτίκ' ἀναμνήσει ταῦτά σε πάντα κόμη. M 74r

23. ⟨ΜΕΛΕΑΓΡΟΥ.⟩

Εἰς Ἡλιοδώραν | τὴν ἑταίραν. L

Ψυχή μοι προλέγει φεύγειν πόθον Ἡλιοδώρας,
δάκρυα καὶ ξήλους τοὺς πρὶν ἐπισταμένη.
φησὶ μέν· ἀλλὰ φυγεῖν οὔ μοι σθένος· ἡ γὰρ ἀναιδὴς
αὐτὴ καὶ προλέγει καὶ προλέγουσα φιλεῖ. M 72v

24. [ΦΙΛΟΔΗΜΟΥ.]

Εἰς Κυδίλλην | τὴν ἑταίραν. L

Ὀσσάκι Κυδίλλης ὑποκόλπιος, εἴτε κατ' ἦμαρ,
εἴτ' ἀποτολμήσας ἤλυθον ἑσπέριος,
οἶδ' ὅτι πὰρ κρημνὸν τέμνω πόρον, οἶδ' ὅτι ῥιπτῶ
πάντα κύβον κεφαλῆς αἰὲν ὕπερθεν ἐμῆς.
ἀλλὰ τί μοι πλέον ἐστίν; ἄγει θρασύς, ἠδ' ὅταν ἕλκῃ
P 92 πάντοτ' Ἔρως, ἀρχὴν οὐδ' ὄναρ οἶδε φόβου. M 72v

---

1 *οὐδόναρ* (hic et *οὐδ' όναρ* l. 16) A^{ac} | *πολιήδὲ* P: ᾽C 2 *αὖτις* Heck. ‖ 3 sqq. Pl. VII 91 3 *Φιλοδήμου* A *τοῦ αὐτοῦ* (sc. Philodemi, post A. P. V 123) Pl; Meleagri esse vidit Jac. 4 *ηλιοδώρ⌜αν⌝* (ώ ex ῶ corr.) L 5 *φεῦ γειν* A^{ar}, corr. C 8 *αὖτη* Pl ‖ 9 sqq. ap. Pl. VII 92 9 *τοῦ αν* (sc. *Φιλοδήμου*) P Pl: de Philodemo dubitare licet, ep. vid. Meleagri (cf. XII 117) aut Asclepiadis 10 *Κύδιλλαν*? 13 *οἳ δ'* priore *οἳ δ'* altero l. P | *παρα* P, corr. Pl | *ῥιπτῶ* P Pl Suid. s. v. *κύβος*, *ῥίπτω* Br. 14 *αἰἔν* (᾽C′A) *ὑπερθεν* P 15 *πλέον.ἔστι γὰρ θρασὺσ·* (᾽A′C) P *πλέον; ἔστι γὰρ οὖν θρασύς* Pl *πλέον ἐστί; τί γὰρ*; (s. *ἐστίν*; *ἄγαν*) *θρασὺς* Jac. *πλέον ἐστίν*; *ὁ γὰρ θρασὺς* Salm.; *ἐστίν*; *ἄγει* scripsi (praeterea *πλέον*; *ἔστι θεὸς θρασὺς* et *ἔστ' ἰταμὸς θεὸς* ci.); *ἐστίν*; *ἐγὼ θρασὺς* (*εἰμ'*, *ὅταν ἕλκῃ λάβρος Ἔρ. κραδίην*) FG. Schmidt | *ηδ'* A *ἠδ'* C | *ὅτ'ἂν* C ex *ὅτἀν* | *ἕλκῃ* C (Pl^{M}) *έλκῃ* A^{ar} 16 *πάντοσ'* Br.; an *πτηνὸς*? | *οἶδα* Boiss. | *φόβου* P Pl^{M} Pl^{E} sed *φόβον* Pl^{I} ‖

25. ’ΑΔΈΣΠΟΤΟΝ. A

Εἰς κόρην εὔμορφον. L

Εἴτε σε κυανέῃσιν ἀποστίλβουσαν ἐθείραις,
εἴτε πάλιν ξανθαῖς εἶδον, ἄνασσα, κόμαις,
ἴση ἐπ’ ἀμφοτέρων λάμπει χάρις. ἦ ῥά γε ταύταις
θριξὶ συνοικήσει καὶ πολιῇσιν Ἔρως. M 75r

26. ‘ΡΟΥΦΊΝΟΥ. A

Εἰς Μέλισσαν | τὴν ἑταίραν. L

Ποῦ σοι κεῖνα, Μέλισσα, τὰ χρύσεα καὶ περίοπτα
τῆς πολυθρυλήτου κάλλεα φαντασίης;
ποῦ δ’ ὀφρύες καὶ γαῦρα φρονήματα καὶ μέγας αὐχὴν
καὶ σοβαρῶν ταρσῶν χρυσοφόρος σπατάλη;
νῦν πενιχρὴ ψαφαρή τε κόμη, παρὰ ποσσί τε τρύχη·
ταῦτα τὰ τῶν σπαταλῶν τέρματα παλλακίδων. M 75v

27. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς μειράκιον. C

Νῦν μοι χαῖρε λέγεις, ὅτε σου τὸ πρόσωπον ἀπῆλθεν
κεῖνο τὸ τῆς λύγδου, βάσκανε, λειότερον·
νῦν μοι προσπαίζεις, ὅτε τὰς τρίχας ἠφάνικάς σου,
τὰς ἐπὶ τοῖς σοβαροῖς αὐχέσι πλαζομένας·

---

1 sqq. ap. Pl. VII 175 1 ἄδηλον Pl (sine l. Pl^{1}); Rufino trib. Jac. 3 εἰτ⌊έ σε⌋ C (εἰ τησ A^{ar}) εἴτέ σε Pl 4 εἴτε P 5 ἐπαμφοτέρων P ἀπ’ ἀμφοτέρων Pl | ἦρά P: spir. C, circ. AC || 7 cfr. Pl. VII 176 7 ἄδηλον Pl 9 μέλισσα P Pl 10 πολυθρυλλήτου P Pl, cr. Dübner 11 ὀφρύες A^{ar} | φρυάγματα Jac. 13 πενιχρῇ ψαφαρῇ τε κόμην Heck. | παρὰ (C παρα A) ποσσὶ τραχεῖα P τ’ ἐπὶ πᾶσι βραχεῖα Pl περὶ ποσσί τε (an περί θ’ ἅψεσι?) τρύχη Jac. περὶ χρωτὶ ῥάκωμα Schm. παρὰ ποσσί τε (malim ὑπόεσσά τε) χρεία Ellis || 15 sqq. Pl. VII 177 15 ἄδηλον Pl 16 ep. duplici lemmate instructum: εἰσ πόρ⌈ην⌉|γηράσασαν καὶ τοῖσ⌊ ἐρασταῖσ ὑποκατα⌋|βαίνουσαν perverse L, εἰς μειράκιον supra adiecit C 19 ἠφανικάσ P 20 ἐπι P | πλαζομένασ, A πλαζομένας; C qui interrogative haec dici voluit

μηκέτι μοι, μετέωρε, προσέρχεο μηδὲ συνάντα·
ἀντὶ ῥόδου γὰρ ἐγὼ τὴν βάτον οὐ δέχομαι. M 75v

28. ΚΙΛΛΑΚΤΟΡΟΣ. A

Ἁδὺ τὸ βινεῖν ἐστι· τίς οὐ λέγει; ἀλλ' ὅταν αἰτῇ
χαλκόν, πικρότερον γίνεται ἐλλεβόρου.

Cor. Phil. 29. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ. A. Pl
29—33. *Ὅτι πόρναι τὸν χρυσὸν | μᾶλλον ἢ τοὺς ἐραστὰς ἀσ|πάζονται.* L

Πάντα καλῶς, τό γε μήν, χρυσῆν ὅτι τὴν Ἀφροδίτην,
ἔξοχα καὶ πάντων εἶπεν ὁ Μαιονίδης.
ἦν μὲν γὰρ τὸ χάραγμα φέρῃς, φίλος, οὔτε θυρωρὸς
ἐν ποσίν, οὔτε κύων ἐν προθύροις δέδεται.
ἦν δ' ἑτέρως ἔλθῃς, καὶ ὁ Κέρβερος. ὦ πλεονέκται,
ἄπληστοι, πενίην ὡς ἀδικεῖτ' ἄνομοι. M 75r

30. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Ὅτι πάσας τὰς | ὕλας ἡ ἡδονὴ ἀσπά|ζεται καὶ χωρὶς χρυσοῦ | ἑταίρα οὐχ ἁλίσκεται. L

Χρύσεος ἦν γενεὴ καὶ χάλκεος ἀργυρέη τε
πρόσθεν· παντοίη δ' ἡ Κυθέρεια τὰ νῦν·

---

1 *μὴκέτι* P | *μὴδὲ* Pl^{M} 2 **δέχομαι* P (scripturus erat *χ* ante *δ* A) || 3 *κιλλάκτορ* A 4 *ἀλλόταν* A *ἀλλ' ὅτἂν* C | *αἰτῇ* in *αἰτῆι* mut. C 5 *ἐλλεβόρου* P *ἑλλεβόρου* s. v. *βινεῖν* Suid. || 6sqq. ep. est ap. Pl. VII 161 6 *θε|σαλονικεως* A 7 *χρυσ̀ μᾶλλ°* *ἢ τ⌜ουσ⌝ ερ⌜ασ⌝τ⌜ασ⌝* L 9 *καλὸσ* Pl$^{1.a}$ | *τὸ γε* P | *χρυσὴν* P, fort. *χρυσέην* | *ἔτι* P (*ἒτι* A^{ac}) Pl, *ὅτι* Br. 10 *μαιωνίδασ* P *μαιονίδησ* (sic) Pl^{M} *Μαιονίδας* Jac. 11 (et 13) *ἦν* P *ἢν* Pl | *γὰρ* pro insitivo habet G. Setti separans vs. 3—6a primo disticho | *φέρεισ* P *φέρησ* Pl^{M} | *οὔτε* ex *οὒτε* cr. C 12 *δέδεται* P: litt. *ετ* manifestiores reddidit, non ex corr. reposuit C, frustra ci. *λέλυται* Herw., *δέχεται* FG. Schmidt, *δίεται* et *σ' ἐφέπει* olim ego 13 *ἐτέρωσ* A^{ac} | *ἔλθησ* P Pl^{M} 14 *οἱ πλοῦτου* (sic) P^{pc} *οἱ πλοῦτοι* A^{ac} *οἳ πλούτου* Pl^{M} *οἱ πλούτου* Pl^{E} *οὐ πλοῦτον* Jac. *ἄπλουτον* Meineke *ὦ πλοῦτος* Mehlhorn *πλουτοίην* Herw. *ἄπλη-*

καὶ χρυσοῦν τίει καὶ χάλκεον ἄνδρ' ἐφίλησεν
καὶ τοὺς ἀργυρέους οὔ ποτ' ἀποστρέφεται.
Νέστωρ τῇ Παφίῃ· δοκέω δ', ὅτι καὶ Δανάῃ Ζεὺς
οὐ χρυσός, χρυσοῦς δ' ἦλθε φέρων ἑκατόν. Ap. 10

31. ΜΆΡΚΟΥ 'ΑΡΓΕΝΤΑΡΊΟΥ. A

Εἰς Μέλισσαν | τὴν ἑταίραν. L

Ποιεῖς πάντα, Μέλισσα, φιλανθέος ἔργα μελίσσης.
οἶδα καὶ ἐς κραδίην τοῦτο, γύναι, τίθεμαι.
P 93 *καὶ μέλι μὲν στάζεις ὑπὸ χείλεσιν ἡδὺ φιλεῦσα·*
ἢν δ' αἰτῇς, κέντρῳ τύμμα φέρεις ἄδικον.

32. ΠΑΡΜΕΝΊΩΝΟΣ. A. Pl

Ἐς Δανάην ἔρρευσας, Ὀλύμπιε, χρυσός, ἵν' ἡ παῖς
ὡς δώρῳ πεισθῇ, μὴ τρέσῃ ὡς Κρονίδην. M 75r

33. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Ὅμοιον. L

Ὁ Ζεὺς τὴν Δανάην χρυσοῦ, κἀγὼ δὲ σὲ χρυσοῦ.
πλείονα γὰρ δοῦναι τοῦ Διὸς οὐ δύναμαι. M 75r

στοι FG. Schmidt | *πενίην* (ex *πενίηι*? corr.) P *πενίην δ'* Jac. | *ἀδικεῖτε μόνοι* P Pl: *μόνον* Boiss. *μόνην* Herw. (*ἀδικεῖτ'*) *ἄλογοι* FG. Schmidt p. 93 15 sqq. Ap. Barb. Vat. 10 (Ap^m p. 601, Ap^v f. 69v) 15 num. *λ'* adpinxit C m^e | *τοῦ αὖ* P *κιλλα*$^{τρ/}$ (pro *Κιλλάκτορος*) Ap 16 sq. *χωρ⌜ισ⌝ χρυσου ετ⌜αῖ⌝ρα ουχαλίσκετ⌜αι⌝* L | tertium ep. distich. (dignum Parmenione) damnat Salm. 18 *χρύσεως* A^{ac} Ap^m | *ἦν* P^{pc} 19 *κεθέρεια* Ap^m | *τανῦν* Ap 1 *καὶ — καὶ* P *ἢ — ἢ* Ap^m *ἡ — ἡ* Ap^v ⌈*ἐφίλησε* Br. 2 *ἢ τοὺς* Ap^v 3 *ἡ παφίη* P *τῇ παφίῃ* Ap^m *τῇ παφίῃ* Ap^v *τῇ Παφίῃ* (sc. *ἔλθοι ἂν*) vel *τὴν Παφίην* Sternb. (*Νέστορας ἡ Παφίη* Toup) | *δοκέω*: 'C | *δανάη· ζεῦσ* (sic) P *δαναή ζησ* Ap^m 4 *χρυσοῦ δ'* A, corr. (*σ* supra scr.) C ‖ 7 ⌊*ἔ*⌋*ργα* P (*ἔ* in eraso *ῥ* scr. C) 9 *ὑποχείλεσιν* A 10 *ἦν* P | *ἄδικον* cave mutes in *ἀκίδος* vel *δακετόν* s. *ὀδυνῶν* ‖ 11 sqq. ap. Pl. VII 163 11 *παρμενί⌊ο⌋νοσ* P *παρμενίανοσ*? A^{ar} *Παρμενίωνος* Pl 12 *εἰς* Pl | *ἔρρευσασ* P Pl^M *ἔρευσας* $Pl^{I.a}$ 13 *πεισθῆ* in *πεισθῆι* mut. C | *τρέσῃ* Pl^M P^{pc} *τρέῃ*

34. ΡΟΥΦΙΝΟΥ. A

Εἰς πόρνας. L

Πυγὰς αὐτὸς ἔκρινα τριῶν· εἵλοντο γὰρ αὐταί,
δείξασαι γυμνὴν ἀστεροπὴν μελέων.
καί ῥ' ἡ μὲν τροχαλοῖς σφραγιζομένη γελασίνοις
λευκῇ ἀπὸ γλουτῶν ἤνθεεν εὐαφίῃ.
τῆς δὲ διαιρομένης φοινίσσετο χιονέη σάρξ,
πορφυρέοιο ῥόδου μᾶλλον ἐρυθροτέρη.
ἡ δὲ γαληνιόωσα χαράσσετο κύματι κωφῷ,
αὐτομάτῃ τρυφερῷ χρωτὶ σαλευομένη.
εἰ ταύτας ὁ κριτὴς ὁ θεῶν ἐθεήσατο πυγάς,
οὐκέτ' ἂν οὐδ' ἐσιδεῖν ἤθελε τὰς προτέρας. Ap. 13 M 74r

Aac || 14 sqq. ep. est ap. Pl. VII 164 14 *του αὐ* (τ) A consent. Pl 15 *ομοιον* L 16 *ξεῦσ* A | *καγὼ δὲ σε* A *κἀγὼ δέ σε* PlM PlE ||

1 sqq. Pl. (VII 141) abiectis vs. 1—8 recepit epigr. distichon ultimum; totum exhibet app. Barb. Vat. n. 13 (Apm p. 601, Apv f. 70r) 1 *ρουφίνου* A Apm (*Διονύσου* Apv: cfr. St.) *τοῦ αὐτοῦ* (i. e. Rufini, post A. P. V 22) Pl 2 *ἀναίσχυντον καὶ σαπρὸν καὶ ὁλ⌜ον⌝ γέμ⌜ον⌝ ἀναίδειαν* add. L 3 *εἵλοντο* P (acc. rest. C) Apm | *αὗται* Ap C *αὕται* Aac *αὐταὶ* apogr. 4 *δείξασθαι* ap. L.m *γυμνῶν* Toup 5 *τροχαλοῖσι* Ap | *φθεγγομένη* Apm *σφιγγομένη* Apv | *καί ῥ' ᾗ μὲν — σφραγιζομένῃ* Reiske 6 *λευκὴ — εὐαφίην* A in *λευκὴν — εὐαφίην* primo mut. C, postea *ν* litt. quam addiderat ipse erasit vocisque *εὐαφίην* litt. finalem puncto superscr. delevit, ut nunc *λευκὴ∗ — εὐαφίηὶ* in P appareat; *λευκῇ — εὐαφίῃ* Apv (et Salm.), *λευκῇ — εὐαφίη* Apm, *λευκὴ — εὐαφίην* (s. v. *γελασίνοις*) Suid. (*λευκὴ — εὐβαφίην* Suidae cod. det., unde *λευκὴ — εὐβαφίη* Reiske) *λευκὴ — εὐαφέων* Toup | *ἀπο* P | *ἤνθε ἐν* Apv *ἤθεν* Apm 7 *διαιρο∗μένησ* Ppr *διαιρουμένησ* Aar | *χιονέη* ex *χιονέϊ* corr. A 9 *χάρασσε το* Aar *χαράσσατο* Ap (*ταράσσετο* Salm.) | *κω∗φῶι* P *κωιφῶι* (non *κούφῳ*, quod ci. Schneider) Aar 10 *αὐτομάτι* Apm | *χρωτὶ* A 11—12 *περὶ ὧν τὸ ἑξῆς ἐπίγραμμα* (sc. V 35) sch.w 11 *ταύταις* Apm | *ὁ κριτὴς θεῶν* Ap *ὁ θεῶν ὁ κριτὴς* apogr. Guiet. et R. *δὲ θεῶν ὁ κριτὴς* ap. Lips. in m. | *ἐθ⌊ε⌋ήσατο* P *ἐθεάσατο* Pl (*ἐθεάσσατο* adscript. in Vat. 1416) | *πυγᾶς* P (*πιγαὶ* Apm) *κούρας* Pl

35. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Ὅμοιον. L

Ἤρισαν ἀλλήλαις Ῥοδόπη, Μελίτη, Ῥοδόκλεια,
τῶν τρισσῶν τίς ἔχει κρείσσονα μηριόνην,
καί με κριτὴν εἵλοντο· καὶ ὡς θεαὶ αἱ περίβλεπτοι
ἔστησαν γυμναί, νέκταρι λειβόμεναι.
καὶ Ῥοδόπης μὲν ἔλαμπε μέσος μηρῶν πολύτιμος,
οἷα ῥοδὼν πολιῷ σχιζόμενος ζεφύρῳ· . . .
τῆς δὲ Ῥοδοκλείης ὑάλῳ ἴσος, ὑγρομέτωπος,
οἷα καὶ ἐν νηῷ πρωτογλυφὲς ξόανον.
[τὸν δ' ὑπεροιδαίνοντα κατέσκεπε πεπταμένη χειρ
οὐχ ὅλον Εὐρώταν, ἀλλ' ὅσον ἠδύνατο.]
ἀλλὰ σαφῶς ἃ πέπονθε Πάρις διὰ τὴν κρίσιν εἰδώς,
τὰς τρεῖς ἀθανάτας εὐθὺ συνεστεφάνουν. M 74r

---

1 sqq. cfr. Pl. VII 142. 1 τοῦ αὖ A 2 post ομοῖ add. L: ἀναισχυντ° καὶ σαπρόταt° 3 ῥοδόκλεια: acc. C 4 ἔχει κάλλος ἀρειότερον Pl 5 εἵλοντο P (acc. add. C) 6 γυμναί P; μούνῳ quod primo scriptum erat in Pl^{M} ipse Pl mut. in ροδάνω vel ροδόνῳ (non οἴνῳ: vide an voluerit rep. ῥοδίνῳ), οἴῳ Pl$^{I.b}$ et in t. Pl^{a} (sed οἴνῳ νέκταρι γρ. in epidiorth. Pl^{a}) μούνῳ Pl$^{\alpha.s}$ | λειπόμεναι P Pl, em. Jac. (νέκταρ ἀλειφόμεναι Salm.) 7—12 om. Pl 8 οἷα (ut l. 10) A^{ac} | ῥόδων A, cr. Jac. | πολιῶι P πολλῷ Heck. ἁπαλῷ et λείῳ Jac.; fort. νοτίῳ vel πνοιῇ — ζεφύρου 9 ante vs. 7 distichon intercidisse de Melite recte statuit Jac. 11—12 vs. ex V 59 errore huc translatos tollit Jac.; olim suspicabar distichon τῆς δ' ὑπεροιδαίνοντα — ἠδύνατο ante verba τῆς δὲ Ῥοδοκλείης collocatum fuisse a poeta, librarium a τῆς δ' ad τῆς δὲ aberrantem versuum ordinem turbasse 11 ὑπεροἰδαίνοντα P | κατέσκεπε πεπταμένη P κατέσκε πεπταμένη s. v. Εὐρώταν Suid.^{A} κατέσκε πταμένη Suid.^{V} κατέσκε (cum χ supra alterum κ posito) πεπταμένη Suid.^{E} (κατέσχεν πεπτ. Suid. edd. vet.) | χεῖρ P 12 οὐχόλον in οὐχόλον mut. C | Εὐρώταν A Suid., Εὐρώτην Vat. Gr. 1416 (illud etiam Eustath. p. 1478, 39) | ἀλλὸσον A 14 ἀθανάτους Pl | εὐθὺσ A sed deleta est litt. finalis puncto supra adpicto, quod nunc fere evanuit, εὐθὺ Pl^{E} (ex εὐθὺς litura corr. Pl^{M}) | εὐθὺς ἀνεστεφάνουν Br., fort. εὐθὺς ὁμῶς στεφάνουν ‖

36. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Ὁμοίως. L

Μήτ' ἰσχνὴν λίην περιλάμβανε μήτε παχεῖαν·
τούτων δ' ἀμφοτέρων τὴν μεσότητα θέλε.
τῇ μὲν γὰρ λείπει σαρκῶν χύσις, ἡ δὲ περισσὴν
κέκτηται· λεῖπον μὴ θέλε μηδὲ πλέον. Ap. 19

37. ΝΙΚΆΡΧΟΥ. A

Ὅτι τὰς εὐμεγέθεις | μᾶλλον δεῖ φιλεῖν. L

Εὐμεγέθης πείθει με καλὴ γυνή, ἄν τε καὶ ἀκμῆς
ἅπτητ', ἄν τε καὶ ᾖ, Σιμύλε, πρεσβυτέρη.
ἡ μὲν γάρ με νέα περιλήψεται· ἣν δὲ παλαιή,
γραῖά με καὶ ῥυσή, Σιμύλε, λιχμάσεται.

38. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Πρὸς ἔρωτα καὶ τοὺς θιάσους. L

Οὐκ ἀποθνήσκειν δεῖ με; τί μοι μέλει, ἤν τε ποδαγρός,
ἤν τε δρομεὺς γεγονὼς εἰς Ἀίδην ὑπάγω;

---

1 sqq. cf. Ap. Barb. Vat. n. 19 (Ap^{m} p. 603, Ap^{v} f. 70^{v}) 1 Ῥουφίνου Ap: praeferunt ep. hoc et V 41 ingenium Onestae Corinthii (cfr. V 19, IX 216, XI 45) nec Byzantio tribuerim, licet clausula ἡ δὲ περισσὴ exstet VII 274, 3 2 ὁμοῖ L: v. ad V 41 3 παχεῖαν C παχείαν A^{ac} παχείην Ap^{v} παχίην Ap^{m} 4 θελε P 5 σαρκὸς Ap^{m} 6 κέκταται Ap^{m} | μὴδὲ A Ap^{m} ‖ 8 lemma p. 94 ad v. 2 scripsit L | τασ εὐ.μεγέθ⌊εισ⌋ P: εισ in eraso ασ? C 9 εὐμεγέθ⌊ησ⌋ C εὐμεγεθεισ A^{ar} 10 ἅπτηται A^{ac} ἅπτητ' ἄν P^{pc} | ῆισι μύλε ex ἠΐσι μῦλε mut. C | πρεσβυτέρη∗ P^{pr} πρεσβυτερῆσ A^{ar} 11 ἣν μὲν A sed γρ. η μ⌈εν⌉ C m^{1} ἡ μὲν apogr. Guiet. et Ruhnk. | ἧ̃ δε P: signum ÷ adpinxit C, qui in fine vs. ÷ η∗∗ (η δὲ ante ras.) scripsit; ἡ δὲ Salm. ἣν δὲ ap. L.^{t} ἤν τε ap. L.^{m}; ἂν δὲ? | παλεύη O. Schneider 12 ῥεῖά με? | ρυσῆσι μύλε A^{ac}, corr. C qui primo ρυσή, dein ρυσὴ rest. | λιχμάσεται Br.: δικάσεται A λειχάσεται Toup ‖ 13 sqq. Pl. VII 168 13 Νικάρχου Pl 14 προσερῶ L 15 ἤντε ex ἠντε C 16 ἧ̃ντε A (ἄντε — ἄντε?)

πολλοὶ γάρ μ' ἀροῦσιν· ἔα χωλόν με γενέσθαι.
τῶνδ' ἕνεκεν θαρσῶν οὔποτ' ἐῶ θιάσους. M 75r

39. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Πρὸς ἑταίραν | Φιλουμένην | παραίνεσις. L

Τῆς μητρὸς μὴ ἄκουε, Φιλουμένη· ἢν γὰρ ἀπέλθω
καὶ θῶ ἅπαξ ἔξω τὸν πόδα τῆς πόλεως,
τῶν καταπαιζόντων μὴ σχῇς λόγον, ἀλλ' ἐς ἐκείνους
ἐμπαίξασ' ἄρξαι πλεῖον ἐμοῦ τι ποεῖν·
πάντα λίθον κίνει· σαυτὴν τρέφε, καὶ γράφε πρός με, 5
εἰς ποίην ἀκτὴν εὐφρόσυνον γέγονας.
εὐτακτεῖν πειρῶ· τὸ δ' ἐνοίκιον, ἤν τι περισσὸν
γίνηται, καὶ ἐμοὶ φρόντισον ἱμάτιον·
ἢν ἐν γαστρὶ λάβῃς, τέκε, ναὶ τέκε· μὴ θορυβηθῇς·
εὑρήσει πόθεν ἔστ', ἐλθὸν ἐς ἡλικίην. M 75r

40. ‘ΡΟΥΦΊΝΟΥ. A

Πρός τινα πόρνην. χλευαστικόν. L

Τίς γυμνὴν οὕτω σε καὶ ἐξέβαλεν καὶ ἔδειρεν,
τίς ψυχὴν λιθίνην εἶχε καὶ οὐκ ἔβλεπεν; Apv 15

---

1 signum ·/· ab initio et in fine vs. C | πῶλοι Unger ἄλλοι Herw. | αἰροῦσιν C αἱ ρουσινA^{ac} ἐρέουσιν Pl αἴρουσιν Jac. ἀροῦσιν Mein. σκαίρουσιν Ludw. 2 τῶν δ' P Pl τοῦδ' Bothe | γὰρ ἴσως P (" rest. C) Pl γὰρ ἴδ' ὡς Mein. γ' ἴσθ' ὡς Herm. χαρτοὺς Jac. μάργους FG. Schmidt σκαρίσων Ludw.; scripsi θαρσῶν (an praestat θρασέως?) ‖ 3 sqq. cf. Pl. VII 169 4 παραίνεσις ex παραινεσις C 5—8 om. Pl 5 φιλουμέν⌊η⌋ C φιλουμένου? A^{ar} | ἢν P 6 ἅπαξ P | πολέως P 7 κατὰπαιζόντων P ἄλλεκείνους P ἀλλ' ἐς ἐκείνους et ἀλλά γ' ἐκείνοις Reiske ἀλλὰ σὺ κείνοις Jac. ἀλλ' ἄγ' ἐκείνους Herw. 8 ἐμπαίξασ A, ἐμπαίξασ' C | ἐμοί Herw. | πο∗εῖν P πονεῖν (non ποιεῖν, quod Reiske rep.) A^{ar} 10 εὐφρόσυνος Br.; malim εὐφροσυνῶν 11 τὸ δ' Jac., τὸ P Pl | ἄν τι C Pl ἤν τι Jac. 12 γίνηται A itemque Pl^{M} γίγνηται Pl^{E} | ἱμάτιον A 13 ἢν A, fort. ἢν δ' | λάβησ A Pl^{M} | τέκε καὶ τέκε A λάβε καὶ τέκε Pl, em. Salm. (τέκε καὶ τρέφε Pierson) 14 ἔστ' P ‖ 15 sqq. ap. Pl. VII 148; primum

μοιχὸν ἴσως ηὕρηκεν ἀκαίρως κεῖνος ἐσελθών;
γινόμενον· πᾶσαι τοῦτο ποοῦσι, τέκνον.
πλὴν ἀπὸ νῦν, ὅταν ᾖ τις ἔσω, κεῖνος δ' ὅταν ἔξω,
τὸ πρόθυρον σφήνου, μὴ πάλι ταὐτὸ πάθῃς. M 74v

41. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς πόρνας. L

Μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν.
ἡ μὲν γὰρ βραδέως, ἡ δὲ θέλει ταχέως. M 76r

42. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Ὁμοίως. L

Ἐκβάλλει γυμνὴν τίς, ἐπὰν εὕρῃ ποτὲ μοιχόν,
ὡς μὴ μοιχεύσας, ὡς ἀπὸ Πυθαγόρου;
εἶτα, τέκνον, κλαίουσα κατατρίψεις τὸ πρόσωπον,
καὶ παραριγώσεις μαινομένου προθύροις;

---

distich. exhibet etiam Apv (f. 70r) | epigrammati num. μ̄ adposuit C, qui eundem num. per errorem ep. praecedenti adpinxerat, sed post erasit 15 *τοῦ αὐτοῦ* (sc. Rufini, post A. P. V 59) Apv *τοῦ αὐτοῦ* (Ruf., post V 21) Pl 16 ℙ *τιν̄* L | *χλευαστι⌜κον⌝* add. L 17—18 om. Apm 17 *ἔδειρεν* cum *η* supra *ει* scripto PlM 18 *καὶ οὐ κέ βλεπε* A *καὶ οὐκ ἔβλεπεν* Pl et corruptelae nota † adpicta Apv (*καὶ οὐκ ἔλεον* Bosch, *καὶ οἷ' ἔβλεπε* Sternb., malim *καὶ ὀξὺ βλέπεν*)

1—4 om. Ap 1 *εὕρηκεν* Pl | *ἐσέλθών* P: signum interrog. adposuit PlM 2 *γιγνόμενον* Pl | *ποιοῦσι* Pl 3 *ἀπονῦν* P PlM | *ὅταν ἐστιν* A *ὅταν ἐστὶν* Pl *ὅταν ᾖ τις* Jac. (*εἴς τις* Heck.) | *ἐσω* Aac | *ὅτ' ἂν* (altero loco) ex *ὅταν* C 4 *πάθησ* A PlM || || 5 sqq. ep. est ap. Pl. VII 200 | ep. 41 olim locum habuisse post V 35 ex lemmate ep. 36 colligas 5 nullo lemmate Pl (*ἄλλο* Pls) 6 *εισ πόρν⌜ασ⌝* (non *πόρναν*) L 7 *λίαν* P Pl Suid. (s. v. *ἀφέλεια* et *μισῶ*) *λίην* schol. Ald. ad. Aristoph. Eq. 524 ||

9 sqq. ap. Pl. VII 149 9 *τοῦ αὖ* A, idem (post V 40) Pl 10 *ομοίωσ* L adsimulans versus non proximo epigrammati, sed superiori 11 *γυμνὴν τίσ* A *γυμνὴν τὶσ* C *γυμνήν τις* Pl | *ἐπὰν* P *ἐπὴν* Pl | *ἑυρη* P 12 *ἀπο* P 13 *κατὰτρίψεισ* P *καταδρύψεις* Pl 14 *παραριγώσεισ* P: spir. C

ἔκμαξαι, μὴ κλαῖε, τέκνον· χεὐρήσομεν ἄλλον,
τὸν μὴ καὶ τὸ βλέπειν εἰδότα καὶ τὸ δέρειν. M 74v

43. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς τὰς ἑταίρας | Λέμβιον καὶ Κερκούριον. L

Λέμβιον, ἡ δ' ἑτέρα Κερκούριον, αἱ δύ' ἑταῖραι
αἰὲν ἐφορμοῦσιν τῷ Σαμίων λιμένι.
P 95 ἀλλά, νέοι, πανδημὶ τὰ ληστρικὰ τῆς Ἀφροδίτης
φεύγεθ'· ὁ συμμίξας καὶ καταδὺς πίεται.

44. ΚΙΛΛΆΚΤΟΡΟΣ. A

Παρθενικὰ κούρα τὰ ἃ κέρματα πλείονα ποιεῖ,
οὐκ ἀπὸ τᾶς τέχνας, ἀλλ' ἀπὸ τᾶς φύσιος.

45. ΦΙΛΟΔΉΜΟΥ. A

Πρὸς ἑταίραν· | κατὰ πεῦσιν | καὶ ἀπόκρισιν. L

α. Χαῖρε σύ. β. καὶ σύ γε χαῖρε. α. τί δεῖ σε καλεῖν;
β. σὲ δέ; α. μήπω
τοῦτο, φιλόσπουδος. β. μηδὲ σύ. α. μή τιν' ἔχεις;

---

1 ἔκμαξαι: ʽC | κλ⌊αῖ⌋ε C κλησε A^{ar} | χεὐρήσομεν (ʽC) P 2 τὸν μηκέτι A (μὴκέτι cr. C) μηκέτι τὸν Pl τὸν μὴ καὶ Jac. 3 τοῦ αὐτοῦ (scil. Nicarchi, post V 39) perperam apogr. (Br.): ep. vid. Asclepiadis, cf. V 160 et 206 (*αἱ Σάμιαι Βιττὼ καὶ Νάννιον*)

4 εισ τ⌈ασ⌉ εταῖρ⌈ασ⌉ sic L | λέμβι^{o} L | titulo add. L haec: εἰσὶ δὲ ταῦ^{τ} τὰ (ʽC) ονόμα^{τ} | μικρὸν (μικρῶν apographa) καραβίων | τ⌈ων⌉ παρημὶν (π ex η? corr.) σανδάλ (i. e. σανδάλων, non σανδαλίων) 5 ἑτέρα ex ἐτέρα C (ἠδ') ἐρατὴ FG. Schmidt | ἑταῖραι ex ἑταίραι C 6 ὑφορμοῦσιν reicit Dorvill. 7 ληστρικὰ P: ʽC 8 πνίγεται ἐγκαταδύς FG. Schmidt ‖ 9 κιλλάκτ⌊ο⌋ροσ C κιλλακτῆρος A^{ar} 10 κοῦρα C κούρα A^{ac} | τὰ κέρματα A τὰ ἃ κ. Br.; an τεὰ κ. ποιεῖς? | πλεῖονα A^{ac} 11 οὐκαποτᾶσ A οὐκ ἀπὸ τὰσ C‖ 15 σε δὲ A | interpunctio est in P post μήπω, non post δὲ 15sq. β. τί δέ μ' ἤρου τοῦτο; α. φιλόσπουδος. β. μή σύ γε Jac., β. σὲ δ' ἔμ'; α. εἶπω τοῦτο; Φιλόσπουδος. β. μή γε σύ Herw. 16 φιλοσπούδει Kaibel; an φίλη, σπεύσῃς? | μήτε (ʽC) σὺ P, μηδὲ σὺ Dübner | μὴ τιν A μή τιν' C | nulla est post σύ et deleta interpunctio post ἔχεις (sic) in P

β. αἰεὶ τὸν φιλέοντα. α. θέλεις ἅμα σήμερον ἡμῖν
δειπνεῖν; β. εἰ σὺ θέλεις. α. εὖ γε· πόσου παρέσῃ;
β. μηδέν μοι προδίδου. α. τοῦτο ξένον. β. ἀλλ' ὅσον
ἄν σοι
κοιμηθέντι δοκῇ, τοῦτο δός. α. οὐκ ἀδικεῖς.
ποῦ γίνῃ; πέμψω. β. καταμάνθανε. α. πηνίκα δ' ἥξεις;
β. ἣν σὺ θέλεις ὥρην. α. εὐθὺ θέλω. β. πρόαγε.

46. ΡΟΥΦΙΝΟΥ. A

Εἰς Θάλειαν, | *τὴν ἑαυτοῦ ἑταίραν.* L

Πολλάκις ἠρασάμην σε λαβὼν ἐν νυκτί, Θάλεια,
πληρῶσαι θαλερῇ θυμὸν ἐρωμανίῃ.
νῦν δ', ὅτε ⟨μοι⟩ γυμνὴ γλυκεροῖς μελέεσσι πέπλησαι,
ἔκλυτος ὑπναλέῳ γυῖα κέκμηκα κόπῳ.
θυμὲ τάλαν, τί πέπονθας; ἀνέγρεο, μηδ' ἀπόκαμνε·
ζητήσεις ταύτην τὴν ὑπερευτυχίην.

47. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς κόρην· | *ἔπαινος τοῦ κάλ|λους αὐτῆς.* L

Ὄμματα μὲν χρύσεια, καὶ ὑαλόεσσα παρειή,
καὶ στόμα πορφυρέης τερπνότερον κάλυκος,

---

1 ἀεὶ A in αἰεὶ mut. C | ἀμα A | interrogandi signum post φιλέοντα posuit C 2 δειπ⌊ν⌋εῖν C δεῖπλεῖν (?) A^{ar} | non interpung. in P post εὖγε 6 verba ποῦ γίνῃ puellae tribuit Kaibel | post πέμψω interrogandi signum posuit A | ἥξεισ P 7 θέλῃς ap. L. | post ὥρην (ʿC) scripserat A continuo πρόαγε, quo eraso alteram pentametri partem totam exaravit C ‖ 9 την ἑαυ̃ L 10 ἠρασάμην: ʾC ἠρ. A^{ar} 11 θαλερῇ⌊ι⌋ P (circ. et ι C) | ἐρωμανίῃ A 12 ὁτεγυμνὴ A μοι add. apogr.; an δὴ γυμνὴ? | πέπλασαι apogr. nonnulla 13 κόπωι ex κόπω C 14 φαλλὲ FG. Schmidt | τάλασ A ν supra σ add. C | μὴδ' ἀπόκαμνε ex μηδ' αποκαμνε fecit C 15 ζητήσεις γε μάτην τήνδε ποτ' εὐτυχίην temere FG. Schmidt ‖ 16 sqq. ap. Pl. VII 201 — 16 nullo lemmate Pl (ἄλλο Pl^{s}) 17 επαινοσ τ⌜ου⌝ L | infra vocem αὐτησ est ras. 18 χρύσ⌊ει⌋α C χρύσεα A^{ar} | ὑ⌊α⌋λόεσσα C ὑελόεσσα? A^{ar}

δειρὴ λυγδινέη, καὶ στήθεα μαρμαίροντα,
καὶ πόδες ἀργυρέης λευκότεροι Θέτιδος.
εἰ δέ τι καὶ πλοκαμῖσι διαστίλβουσιν ἄκανθαι,
τῆς λευκῆς καλάμης οὐδὲν ἐπιστρέφομαι. M 76r

48. † ΤΟΥ̃ ΔΙΚΑΊΟΥ ΓΆΛΛΟΥ. A

Ἐπίγραμμα ἀδικώτατον. L

Ἡ τρισὶ λειτουργοῦσα πρὸς ἓν τάχος ἀνδράσι Λύδη,
τῷ μὲν ὑπὲρ νηδύν, τῷ δ' ὑπό, τῷ δ' ὄπιθεν,
εἰσδέχομαι φιλόπαιδα, γυναικομανῆ, φιλυβριστήν.
εἰ σπεύδεις, ἐλθὼν σὺν δυσὶ μὴ κατέχου.

49. ΑΔΈΣΠΟΤΟΝ. A

Καὶ πενίη καὶ ἔρως δύο μοι κακά· καὶ τὸ μὲν οἴσω
κούφως· πῦρ δὲ φέρειν Κύπριδος οὐ δύναμαι. Ap. 49

50. ΑΔΈΣΠΟΤΟΝ. A

Ἠράσθην, ἐφίλουν, ἔτυχον, κατέπραξ', ἀγαπῶμαι.
τίς δέ, καὶ ἧς, καὶ πῶς — ἡ θεὸς οἶδε μόνη. M 76r

---

3 *εἰ δέτι* ex *εἰ δετι* C | *πλοκάμοισι* Pl^{E}, sed *πλοκαμῖσι* Pl^{M} cum P | *ἀκάνθασ* (ʹC) P, cr. Pl 4 *οὐδὲν* ex *οὐδὲ* cr. C | *ἐπὶστρέφομ⌊αι⌋* C *ἐπιστρεφομην* (?) A^{ar} ‖ 5—6 *τοῦ δικαίου γάλλου* A: verba *επί|γραμμα ἀδικώ|τατον* per lusum opposuit L epitheto *τοῦ δικαίου*, quod perverse intulit A: *Αἰλίου* sive *Διδίου Γάλλου* Reiske (v. Chard. Mél. II 331), Cornelio amico Vergilii tribuit Jac. 7 *ἓν* (ex *ἓν*? corr.) *τάχος* (ʹC) P, *ἓν τέλος* Jac., *ἓν λέχος* Toup.; fort. *ἓν χρέος* (*ἄμμιγα*) | *λύδη* C *λυδὴ* A^{ar} 8 *ὑπερ* et *ὑπο* A, acc. add. C | *τῶι ὄπιθεν* (ʼ C) P, δ' inser. Salm. (et Tyrwhitt) 9 *γυναικομανὴ* A^{ar} | *φιλ'ὑβριστὴν* in ras. C, forsit. *εραστήν* scripserit A 10 *κατέχου* P: ʹC | *ἐθέλων σὺν δυσὶν ἦκε τάχος* temere Salm. ‖ 11 sqq. Ap. BV. n. 49 (Ap^{m} p. 611, Ap^{v} f. 74^{v}) 11 *Ῥουφίνου* Ap: produnt hoc ep. et sequens potius Dionysii Sophistae ingenium 12 *δυο κακα* A^{ac} *μοι* supra adposuit C 13 *κούφωσ* (sic) *πῦρ δε* A ‖ 14 sqq. Pl. VII 209 14 nullo lemmate Pl (*ἄλλο* Pl^{s}) | littera *ν̄* num. carminis indicat C m^{e}, versuum num. (46) qui epigr. 40—49 continentur adposuit m.

or. Mel. 51. ΔΙΟΣΚΟΡΊΔΟΥ. A

1—56. *Εἰς Ἀρσινόην ἑταίραν | Σωσιπάτρου.* LC

Ὅρκον κοινὸν Ἔρωτ' ἀνεθήκαμεν· ὅρκος ὁ πιστὴν
96 *Ἀρσινόης θέμενος Σωσιπάτρῳ φιλίην.*
ἀλλ' ἡ μὲν ψευδής, κενὰ δ' ὅρκια· τῷ δ' ἐφυλάχθη
ἵμερος· ἡ δὲ θεῶν οὐ φανερὴ δύναμις.
θρήνους, ὦ Ὑμέναιε, παρὰ κληῖσιν ἀκούσαις
Ἀρσινόης, παστῷ μεμψάμενος προδότῃ.

52. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς Ἀριστονόην. L

Ἡ πιθανή μ' ἔτρωσεν Ἀριστονόη, φίλ' Ἄδωνι,
κοψαμένη τῇ σῇ στήθεα πὰρ καλύβῃ.
εἰ δώσει ταύτην καὶ ἐμοὶ χάριν, ἣν ἀποπνεύσω,
μὴ πρόφασις, σύμπλουν σύμ με λαβὼν ἀπάγου.

53. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Φλυαρία | πρὸς ὁμοίους αὐτοῦ· πῶς | δεῖ μετὰ γυναικὸς
ἐγ|κύμονος συγκαθεύδειν. L

ὀφθαλμοὶ γλώσσης ἀξιοπιστότεροι. M 74v

130. ΦΙΛΟΔΉΜΟΥ. A

Εἰς Ξανθίππην· | ὁμοίως. C

Ψαλμὸς καὶ λαλιὴ καὶ κωτίλον ὄμμα καὶ ᾠδὴ
Ξανθίππης καὶ πῦρ ἄρτι καταρχόμενον,
ὦ ψυχή, φλέξει σε· τὸ δ' ἐκ τίνος ἢ πότε καὶ πῶς,
οὐκ οἶδα· γνώσῃ, δύσμορε, τυφομένη. M 73r

131. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Εἰς τὴν αὐτὴν | Ξανθίππην· | μανίας μεστὸν | καὶ θαυμαστικόν. C

Ὦ ποδός, ὦ κνήμης, ὦ τῶν ἀπόλωλα δικαίως
μηρῶν, ὦ γλουτῶν, ὦ κτενός, ὦ λαγόνων,
ὤμοιν, ὦ μαστῶν, ὦ τοῦ ῥαδινοῖο τραχήλου,
ὦ χειρῶν, ὦ τῶν μαίνομαι ὀμματίων,

---

p. 132, 17 μακκίου C μαικίου A^{ac} τοῦ αὐτοῦ (sc. Maecii, post A. P. V 132) Pl 19 τ⌊ίστ⌋υγνὴ Pl^{M} | εἰκαῖα C ηκαῖα A^{ar} 1 ἔχονθ' C ἔχοντ' A^{ar} | ὑποκόλπιον P: ᾽ C 2 εἶπον P Pl^{M} εἰπὸν Pl^{s} 2 ἐπιστάμεθα P: ᾽ C 3 δακρύεισ. οὐ φῆσ δέ A δακρύεισ; οὐ φῄσ δὲ; C δακρύεις· οὐ φῄσ δὲ; Pl^{M} | φῄς Pl^{E} | ἐπὶ βάλλ⌊ηι⌋ C ἐπιβάλλει (vel — εις) A^{ar} ‖ 5 sqq. Pl. VII 99 5 τοῦ αὐτοῦ (sc. Philodemi, post A. P. V 120) Pl; perperam Platoni (cf. V 79) tribuit Salm. epigr. a poeta coronae Philippicae compositum 6 inepte ὁμοίως lemmati add. C 7 λαλιῆι A | κώτιλον A 10 οὐκοῖδα A^{ac}, noli οὐκ αὐδῶ repon.: cf. similis argumenti ep. V 50 | γνώσῃ A, ι fin. add. C ‖ 11 sqq. Pl. VII 100 11 num. $\bar{\lambda}$ adpinxit C m^{e} 12 lemma perversum, ut apparet ex ultimo ep. disticho (Dübn.) 14—19 ὦ ubique P (᾽ partim perfecit partim add. C) ὢ Pl 14—16 ὢ ποδὸς ὢ κνήμης ὢ τοῦ ῥαδ. τραχήλου Suid. s. v. ῥαδινή (sed ὦ ter S^{v}) 16 ὤ μοιν A ὢ ὤμοιν Jac. ὢ ὠμῶν Pl^{M} ὢ ὤμων Pl^{E} ὤμων Kaib. | ὢ μνοιῶν μαστῶν Ellis ὤμοι τῶν μ. Geel 17 ὢ χειλῶν?

ὦ κατατεχνοτάτου κινήματος, ὦ περιάλλων
γλωττισμῶν, ὦ τῶν † θαῦμ' ἔλε φωναρίων,
εἰ δ' Ὀπικὴ † καὶ Φλῶρα καὶ οὐκ ᾄδουσα τὰ Σαπφοῦς,
καὶ Περσεὺς Ἰνδῆς ἠράσατ' Ἀνδρομέδης. M 73r

P 107 132. ΜΑΙΚΙΟΥ. A. Pl

Εἰς Ἡδύλιον | ἑταίραν. C

Ὄμοσ' ἐγώ, δύο νύκτας ἀφ' Ἡδυλίου, Κυθέρεια,
σὸν κράτος, ἡσυχάσειν· ὡς δοκέω δ', ἐγέλας
τοὐμὸν ἐπισταμένη τάλανος κακόν· οὐ γὰρ ὑποίσω
τὴν ἑτέρην· ὅρκους δ' εἰς ἀνέμους τίθεμαι.
αἱροῦμαι δ' ἀσεβεῖν κείνης χάριν, ἢ τὰ σὰ τηρῶν
ὅρκι' ἀποθνήσκειν, πότνι', ὑπ' εὐσεβίης. M 74v

Στ. Μελ. epp. 133—214. 133. ΠΟΣΕΙΔΙΠΠΟΥ. A

Εἰς λάγυνον | οἰνηράν. C

Κεκροπὶ ῥαῖνε λάγυνε πολύδροσον ἰκμάδα Βάκχου,
ῥαῖνε, δροσιζέσθω συμβολικὴ πρόποσις.

---

1 κατὰτεχνοτάτου P (˙ C) κακοτεχνοτάτου Pl | περιἄλλων C περιάλλων A 2 γλωτισμῶν A alterum τ supra ω adposuit C | post τῶν erasa est interpunctio | θύεμε P κλῶμαι Pl^{M} Pl$^{I.a}$ κλάομαι Pl^{b} κλώμεθα Opsopoeus κάομαι Canter θύμ' ἐμὲ Seidler θῦ' ἐμὲ Ellis θῦψ' ἐμὲ Heck. θαῦμ' ἔλε tentavi | θύομαι (Salm.) ᾠδαρίων Boiss. θύομ' ἐρωμανιῶν Polak 3 ὁ πικὴ (sic) A supra ὁ et m^{e} signum corr. ·/· posuit C ὀπικὴ Pl | καὶ φλῶρα P καὶ φλωρὰ Pl παῖς Φλῶρα Heck. Φλώρα Boiss. καὶ Φλῶρα Kaib. (Floram hanc dici apud Plut. v. Pomp. 2 put. Seidler); καὶ φλαῦρα Huet καὶ χλωρὰ Brod. χλωρά τε Passow | οὐκ ⌊ἄ⌋ιδουσα C οὐ καὶ ἰδουσα A^{ar} | σαπφούς A^{ac} 4 ἰνδῆσ P (circ. C), ex ἠνδῆσ cr. Pl^{M} ‖ 5 sqq. Pl. VII 154 5 nomini auctoris signum ·/· adpinxit C 6 ηδύλλιον C 7 ἀφηδυλίου A ἀφ' ἡδ. C 8 ἡσυχάσειν A^{ac} | δὲ γελᾷς Pl 9 τάλανοσ A πάντωσ Pl^{E} voc. omisit lacunam indicans Pl^{M} | τάλ. κέαρ? | ὑποίσω P: ' C 10 ἑτάρην P 11 αἱροῦμαι et τασὰ A 12 ὄργι' A, cr. Pl | ἀποθνήσκειν P: ` C | ὑπευσ. P ‖ 13 ποσιδίππου A 15 κέκροπι P, accent. cr. Salm. 16 βαῖνε P, cr. ap. G. et R.

σιγάσθω Ζήνων ὁ σοφὸς κύκνος ἅ τε Κλεάνθους
μοῦσα· μέλοι δ' ἡμῖν ὁ γλυκύπικρος Ἔρως.

134. ΑΔΗΛΟΝ. A. Ap

Εἰς λάγυνον | ὁμοίως οἰνηράν. C

Στρογγύλη, εὐτόρνευτε, μονούατε, μακροτράχηλε,
ὑψαύχην, στεινῷ φθεγγομένη στόματι,
Βάκχου καὶ Μουσέων ἱλαρὴ λάτρι καὶ Κυθερείης,
ἡδύγελως, τερπνὴ συμβολικῶν ταμίη,
τίφθ', ὁπόταν νήφω, μεθύεις σύ μοι, ἢν δὲ μεθυσθῶ, 5
ἐκνήφεις; ἀδικεῖς συμποτικὴν φιλίην. Ap. 16

135. ΜΕΛΕΑΓΡΟΥ. A

Εἰς κόρην Ἡλιο|δώραν. ἐρωτικόν. C

Ἔγχει καὶ πάλιν εἰπέ, πάλιν, πάλιν, Ἡλιοδώρας·
εἰπέ, σὺν ἀκρήτῳ τὸ γλυκὺ μίσγ' ὄνομα.
καί μοι τὸν βρεχθέντα μύροις, καὶ χθιζὸν ἐόντα,
μναμόσυνον κείνας ἀμφιτίθει στέφανον.
δακρύει φιλέραστον, ἰδού, ῥόδον, οὕνεκα κείναν 5
ἄλλοθι κού κόλποις ἁμετέροις ἐσορᾷ.

---

1 *ἥ τε* ap. L. 2 *γλυκύπικρος* ex *γλυκόπικρος* cr. C || 3sqq. cfr. Ap^{m} p. 602, Ap^{v} f. 70^{r} et 70^{v} 3 ambigi potest utrum Hedylo ep. vindicetur an Asclepiadi (v. IX 229. 752) 5—8 vs. om. Ap 5 *μακροτράχηλ*$_{L}$*ε*$_{J}$ C *μακροτραχήλου*? A^{ar} 6 *ὑψαύχην* P: ′ C 7 *μουσῶν* A *Μουσέων* Br. | *ἱλαρὴ* ex *ἰλ.* C 8 *τερπνὴ* C *τερπνή* A 9 *ὁπότ' ἂν* P(′C) *ὅταν* Ap | *με θύεισ* (′ C) P 9 *σὔμοι* P^{ar} 10 *συνποτικὴν* Ap^{m} || 12 *ἐρωτικ*^{o} C 13 *ἔγ*$_{L}$*χ*$_{J}$*ει* P: *ἔγ* ultra lineam et *χ* in ras. C *ἔχει* (?) A^{ar} | *εἶπε* C *εἰπέ* A^{ar} 14 ab initio vs. est signum ·/· | *εἶπε* C *εἰπὲ* A^{ac} | *συνακρήτωι* A *σὺν ἀκρ.* C *σὺ δ' ἀκρ.* Heck. *καὶ ἀκρ.* Jac. | fort. *ἀκράτῳ* 17 *οὕνεκα* A^{ac} | *κείν*$_{L}$*α*$_{J}$*ν* C *κείνων* A^{ar} *κείνα* Boiss. 18 *κ'οὐ* P | *κόλπο*$_{L}$*ι*$_{J}$*σ* C *κόλπουσ* A^{ar} | *ἡμετέροις* P *ἁμετέροις* Graefe | *ἐσόρᾱι* ex *ἐσόραι* C | ep. 135 cum ep. seq. perperam iungit Purgold ||

136. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A
Εἰς τὴν αὐτήν· | *ὁμοίως.* C

Ἔγχει τᾶς Πειθοῦς καὶ Κύπριδος Ἡλιοδώρας
καὶ πάλι τᾶς αὐτᾶς ἀδυλόγου Χάριτος.
αὐτὰ γὰρ μί' ἐμοὶ γράφεται θεός, ἅς τὸ ποθεινὸν
οὔνομ' ἐν ἀκρήτῳ συγκεράσας πίομαι.

137. ΔΙΟΣΚΟΡΊΔΟΥ. A
Εἰς Ἀθήνιον, | *κόρην τραγῳδόν.* C

Ἵππον Ἀθήνιον ἦσεν ἐμοὶ κακόν· ἐν πυρὶ πᾶσα
Ἴλιος ἦν, κἀγὼ κείνῃ ἅμ' ἐφλεγόμαν,
οὐ δείσας Δαναῶν δεκέτη πόνον· ἐν δ' ἑνὶ φέγγει
τῷ τότε καὶ Τρῶες κἀγὼ ἀπωλόμεθα.

138. ΜΕΛΕΆΓΡΟΥ. A. Pl
Εἰς Ζηνοφίλαν, | *τὴν κιθαρῳδόν.* C

Ἀδὺ μέλος, ναὶ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις,
Ζηνοφίλα, ναὶ Πᾶν', ἀδὺ κρέκεις τι μέλος.
ποῖ σε φύγω; πάντῃ με περιστείχουσιν Ἔρωτες,
P 108 *οὐδ' ὅσον ἀμπνεῦσαι βαιὸν ἐῶσι χρόνον.*

---

3 ἔγχει P: ″ C | τὰσ P itemque (l. 4) τὰσ αὐτὰσ | ἡλιοδῶρασ A^{ac} 4 ἀδὺ λόγου A ἀδυλόγου apogr. ἀδυλόγοι ap. L. ἀδυλόγω Bentley | χάριτεσ P, cr. ap. Buh.^{m} 5 μί': ΄C | ἃσ P (spir. renov. C) 6 ἐνακρητωι A^{ac} | σὺγκ. ex συγκεράσασ C ‖ 8 ἀθηνιον et τραγῶ δ' C 9 ἦσεν (spir. C) P | κακὸν P: ΄A΄C | ἦσε πόλει κακόν Mähly 10 ⌊ἴ⌋λιοσ C ἥλιοσ A^{ar} | ἦν ex ἦν C | καγὼ A κἀγὼ supra κἠγὼ ap. Buh. | κείνη A 11 οὐδείσασ P, οὐδὲ ἴσας Meineke, οὐ πλήσας Mähly; fort. οὐδ' εἰσδὺς s. οὐ μείνας | δενὶ A δ' ἑνὶ C | φ⌊έγγ⌋ει P: έγγ in eraso λεγο? P; f. φλογμῷ 12 ἀπολόμεθα A ἀπ' ὠλόμεθα C ‖ 13 sqq. Pl. VII 1 14 την κιθαρωδόν C 15 ἡδὺ et νὴ Pl | πηκτίδι cum λύρα superscr. Suid.^{v} s. v. πηκτὶς | μέλ⌊πεισ⌋ C μέλος A^{ar} 16 λι γίαν A λίγει' Pl; s. v. κρέκουσα Suid. λιγὺ et λῖ γὰρ (hoc Suid.^{v}) om. ἀδὺ; λιγέως Opsop. λίαν Schneid. ναὶ Πᾶν' Graefe σειρὴν Picc. | τι A Pl^{M} τί C Suid.^{v} $Pl^{I.a}$ σὺ Jac. 17 πάντηι A πάντη Pl^{M} παντᾶ Gr. | περιστείχουσ⌊ι⌋ν C περιστείχουσαν A^{ar}, —χοντες Zeune 18 οὐ δ' Graefe, κοὐδ' Jac.

ἢ γάρ μοι μορφὰ βάλλει πόθον ἢ πάλι μοῦσα
ἢ χάρις, ἤ τί λέγω; πάντα· πυρὶ φλέγομαι. M 68v

139. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς κόρην Ζηνο|φίλαν. C

Ἡδυμελεῖς Μοῦσαι σὺν πηκτίδι, καὶ λόγος ἔμφρων
σὺν Πειθοῖ, καὶ Ἔρως καλὸς ἐφ' ἡνιόχῳ,
Ζηνοφίλα, σοὶ σκῆπτρα Πόθων ἀπένειμαν, ἐπεί σοι
αἱ τρισσαὶ Χάριτες τρεῖς ἔδοσαν χάριτας. M 73r

140. ΤΟΥ̃ ΑὐΤΟΥ̃. Pl

Εἰς Ἡλιοδώραν· | ὁμοίως. C

Ναὶ τὸν Ἔρωτα, θέλω τὸ παρ' οὔασιν Ἡλιοδώρας
φθέγμα κλύειν ἢ τᾶς Λατοΐδεω κιθάρας. M 68v

141. Ἄδηλον. A. Pl

Εἰς στέφανον | ῥόδων Διονυσίου. C

Τίς, ῥόδον ὁ στέφανος Διονυσίου, ἢ ῥόδον αὐτὸς
τοῦ στεφάνου; δοκέω, λείπεται ὁ στέφανος. M 68v

---

1 γρ᾽ ἢ γὰρ P: γρ᾽ (i. e. ἡ pro ἢ) C m^{i}; ἡ γὰρ (cum C) Pl, ἃ γὰρ Salm. | σταλάει? at cf. XII 122, 3 | πόθεν Pl | ἡ παλίμουσα A^{ac} 2 ἠχαρισ A^{ac} | ἦτι A^{ac} ἢ τὶ C | λέγω. πάντα πυρὶ P Pl^{M} λέγω; πάντα πυρὶ Pl^{E} λέγω πάντα; πυρὶ Grotius λέγω; πάντα· πυρὶ Reiske et Schneid. | ad v. 5 sq. adscripsit C m^{e}: ὅτι ἡ μορφὴ βάλλει|τὸν πόθον· οφθαλμῦ|διακόνωι χρωμένη || 3 sqq. Pl. VII 103 3 Μελεάγρου Pl 5 ἀδυμελεῖς Br. | μούσαισ P (puncto alterum σ del. C) μοῦσαι Pl 6 ἔρωσ ex ορῶσ (vel ορὼσ) cr. Pl^{M} | εφηνιόχωι A ἐφ' ἡν. C Pl ὑφ' ἡνιόχῳ apogr.; ὑφηνιόχῳ Toup κάλλος ὑφηνιοχῶν. Graefe 7 σοι P Pl | ἐπεὶ σοὶ Pl^{M} || 9 sqq. Pl. VII 2 9 auctoris nom. om. A Pl^{I} τοῦ αὐτοῦ (i. e. Meleagri, post A. P. V 138) Pl^{M} 11—12 utrique versui et ab initio et in fine signum ·/· add. C 11 νὴ Pl | παῤῥόδασ ex παρούασ C (errant edd.), cr. Pl 12 ἢ τὰς Haupt | λατρίδεω A λητοίδεω Pl corr. Salm. || 13 sqq. Pl. VII 3 13 num. μ̄ adpinxit C | epigr. videtur Meleagri, cf. XII 81 (V 80) 14 εισ στεφ^{α}ῥόδων· C 15 τίς ῥόδον, ὁ interp. Pl^{M} | αὐτόσ A^{ar} ||

142. ΜΕΛΕΑΓΡΟΥ. Pl

Εἰς ἕτερον στέφανον ῥόδων | Ἡλιοδώρας. C

Ὁ στέφανος περὶ κρατὶ μαραίνεται Ἡλιοδώρας·
αὐτὴ δ' ἐκλάμπει τοῦ στεφάνου στέφανος. M 68ᵛ

143. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Εἰς κόρην Ζηνο|φίλαν ἔπαινος. C

Ἤδη λευκόιον θάλλει, θάλλει δὲ φίλομβρος
νάρκισσος, θάλλει δ' οὐρεσίφοιτα κρίνα.
ἤδη δ' ἁ φιλέραστος, ἐν ἄνθεσιν ὥριμον ἄνθος,
Ζηνοφίλα Πειθοῦς ἁδὺ τέθηλε ῥόδον.
λειμῶνες, τί μάταια κόμαις ἔπι φαιδρὰ γελᾶτε;
ἁ γὰρ παῖς κρέσσων ἁδυπνόων στεφάνων. M 68ᵛ

144. ΑΣΚΛΗΠΙΑΔΟΥ. A. Pl

Εἰς στέφανον ἐκ | ῥόδων πλακέντα. C

Αὐτοῦ μοι στέφανοι παρὰ δικλίσι ταῖσδε κρεμαστοὶ
μίμνετε, μὴ προπετῶς φύλλα τινασσόμενοι,
οὓς δακρύοις κατέβρεξα· κάτομβρα γὰρ ὄμματ' ἐρώντων·
ἀλλ' ὅταν οἰγομένης αὐτὸν ἴδητε θύρης,

---

1 sqq. Pl. VII 4 1 nomen auctoris om. P, *Μελεάγρου* Pl 2 *στέφαν*\ *ρο*^{δ}*ηλιοδώρασ* C 3 *περι* A^{ac} 4 *αὐτὰ*? | *στέφανοσ*: acc. C ‖ 5 sqq. Pl. VII 5 6 post *ἔπαινος* clausulam posuit C, dein add. haec: *ἀπὸ τῶν ανθέων | ἡ σύκρισισ* (sic) 7 *λευκὸν ἴον* Pl 8 *οὐρεσϊ φυτα* Pl^{M} (cum A consent. Pl^{E}), *οὔρεσι φύντα* Graefe *οὐρεσίφοιβα* Dilthey, *οὐρεσίκοιτα*? 9 *ἡ φιλέραστοσ* P Pl | *ἐνάνθεσιν ὥριμονάνθοσ* A^{ac} 10 *ἡδὺ* P Pl *ἁδὺ* Gr. 11 *μ⌊ατ⌋αια* P (*αντ*? A^{ar}) | *ἐπὶ* (᾽ C) P *ἔπι* Pl | *γελᾶτ⌊ε⌋* P: ε in eraso εσ C 12 *ἁβρὰ π.*? | *ἡ γὰρ* et *κρείσσων* Pl | *⌊ἡ⌋δυπνόων* Pl^{M} (*ἁδυπν.* a. r. Pl^{M}, illud Pl^{E}) ‖ 13 sqq. Pl. VII 116 14 *πλακεν̄τ̄* C | lemmati add. C verba haec: *ἕνεκεν κόρησ|τινόσ*, quippe idem C v. 4 *αὐτὴν* et v. 6 *κόρη* perperam reposuit 15 *παρα* P 17 *καὶἐβρεξα* C | *ἐρώτωνν̄* P: *ερωτω̄* (i. e. *ερωτων*) A, quod

στάξαθ' ὑπὲρ κεφαλῆς ἐμὸν ὑετόν, ὡς ἂν ἄμεινον
ἡ ξανθὴ γε κόμη τἀμὰ πίῃ δάκρυα. M 73v

145. ΚΑΛΛΙΜΑΧΟΥ. A

Εἰς τὴν | γυναῖκα Πτολεμαίου | Βερενίκαν. C

Τέσσαρες αἱ Χάριτες· ποτὶ γὰρ μία ταῖς τρισὶ κείναις
ἄρτι ποτεπλάσθη κἤτι μύροισι νοτεῖ.
εὐαίων ἐν πᾶσιν ἀρίζαλος Βερενίκα,
ἇς ἄτερ οὐδ' αὐταὶ ταὶ Χάριτες Χάριτες.

146. ΜΕΛΕΑΓΡΟΥ. A

Εἰς στέφανον ἐκ ῥόδων | δοθέντα Ἡλιοδώρᾳ. C

Πλέξω λευκόιον, πλέξω δ' ἀπαλὴν ἅμα μύρτοις
νάρκισσον, πλέξω καὶ τὰ γελῶντα κρίνα,
πλέξω καὶ κρόκον ἡδύν· ἐπιπλέξω δ' ὑάκινθον
πορφυρέην, πλέξω καὶ φιλέραστα ῥόδα,

---

in *ἐρώντων* ita mut. C, ut *ν* finale et compendio et ipsa littera expressum exstet p. 138, 18 *ἀλλ᾽ ἀνοιγομένης* A in *ἀλλ' ὅτ' ἂν οἰγομένης* mut. C (*ἀλλ' ὅτ' ἀνοιγ.* Pl) *ἀλλ' ὅταν οἰγ.* Jac. | *αὐτὸν* A *αὐτὴν* (litteris *ὴν* supra *ὸν* scr.) C: cfr. ad 14

1 *ὑπερ* P | *ἄμεινον* P Pl, *Ἀμύντᾳ* Wilam., *ἐκείνου* Schneidew. fort. *ἀτέγκτου* s. *ἀπηνοῦς* 2 *κό⌊μ⌋η*: ρ supra add. C, sed eandem litt. primo scripserat A^{ar} | *ταμὰ* A *τὰμὰ* C | *δάκρυα πίῃ* Pl; *δάκρυα τἀμὰ πίῃ* d'Orville ‖ 4 *Βερενίκαν* ex *Βερενίκην* cr. C 5 *γαρ* A 6 *πότ' ἐπλάσθη* A *ποτεπλάσθη* apogr. (olim ci. *ἀρτίτυπος πλάσθη*) | *κητι* A | *μύροισί* P: signum ·/· repet. C in fine vs. | post *νοτεῖ* (˜ C) interpunxit Schneid. 7 *εναἰῶν* A^{ac} | *ἀρίζηλος* (´ C) P, *ἀρίζαλος* Br. 8 *ἃς* A^{ac} *ἇς* C | *ἄτερ* in *ἅτερ* deprav. C | *αὐταὶ** P (erasa est interp.) | *τ' αἱ* C sed *ταὶ* A^{ar} ‖ 9 sqq. ap. Pl. VII 6 9 *τοῦ αὐτοῦ* (sc. Meleagri, post A. P. V 143) Pl 10 *ῥο$^{δ\eta}$ δοθε$^{\tau}$ ηλιοδώραι* C 11 *δ' ἀπαλὴν* A^{ac} *δ' ἀπαλοῖς* Pl 12 *τὰ γελῶντα*: offendit articulus, cum in ceteris qui enumerantur floribus omissus sit; an *θαλέθοντα* s. *γανόωντα* (cfr. Hymn. Hom. Cer. 10)? nisi quis conl. V 143, 5 *φαιδρὰ γελῶντα* praefert 14 *ῥ⌊ό⌋δα* C *ῥῶδα* (?) A^{ar}

P 109 *ὡς ἂν ἐπὶ κροτάφοις μυροβοστρύχου Ἡλιοδώρας*
εὐπλόκαμον χαίτην ἀνθοβολῇ στέφανος. M 68v

147. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl
Εἰς Ἡλιοδώραν. C

Φαμί ποτ' ἐν μύθοις τὰν εὔλαλον Ἡλιοδώραν
νικάσειν αὐτὰς τὰς Χάριτας χάρισιν. M 68v

148. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl
Εἰς Ζηνοφίλαν. C

Τίς μοι Ζηνοφίλαν λαλιὰν παρέδειξεν ἑταίραν;
τίς μίαν ἐκ τρισσῶν ἄγαγέ μοι Χάριτα;
ἆρ' ἐτύμως ἀνὴρ κεχαρισμένον ἄνυσεν ἔργον
δῶρα διδοὺς καὐτὰν τὰν Χάριν ἐν χάριτι. M 73r

149. ΄ΑΣΚΛΗΠΙΆΔΟΥ. A
Εἰς Νικώ. C

Ὡμολόγησ' ἥξειν εἰς νύκτα μοι ἡ ᾽πιβόητος
Νικὼ καὶ σεμνὴν ὤμοσε Θεσμοφόρον·
κοὐχ ἥκει, φυλακὴ δὲ παροίχεται. ἆρ' ἐπιορκεῖν
ἤθελε; τὸν λύχνον, παῖδες, ἀποσβέσατε.

---

1 μυροβοσ∗ρύχου P μυροβοστρύχου (non μυροβότρυος) A^{ar} 2 ἀνθοβολῆι A ει supra ῆι scr. C ἀνθοβολῇ Pl^{M} ‖ 3 sqq. Pl. VII 7 5 τ⌊ὰ⌋ν C τὴν A^{ar} 6 νικασεῖν Herw. ‖ 7 sqq. Pl. VII 104 7 τοῦ αὐτοῦ (sc. Meleagri, post A. P. V 139) Pl 9 λαλιὰν A λαλίην Pl | ἑταίραν Br. ἑταίρην P Pl ἑταίρων Gr. 10 ἤγαγε (᾽ C) P ἄγαγε Gr. (cf. Theocr. II 65) 11 ἆρ' ἐτύμωσ A^{ac} ἄρ' ἑτοίμωσ C ἦ ῥ' ἐτύμωσ (Pl^{E}) ex αἶρετύμωσ cr. Pl^{M} | ανὴρ A ἀνὴρ CPl ὠνὴρ Gr. ἀνὴρ Boiss. ὅδ' ἀνὴρ Br. | ἤνυσεν Pl 12 καυτὰν A^{ac} καὐτὴν Pl | τὴν Pl ‖ 13 cf. V 6 15 ἥξειν A^{ac} | ἡ ᾽πι βό^{η}τ⌊ο⌋σ C ἡπιβότησ A^{ar} ἐπιβόητος (s. v. θεσμοφόρος) Suid. (οὐπιβ. Suid. edd.) 16 νικὼ C νικώ A^{ar}; voc. om. Suid. | θεσμοφόρον add. C, vs. imperfectum reliquerat A, in fine vs. adpinxit clausulam C 17 ἠοὐχ' ἥκει C ἠουχήκει A^{ac} | ἆρ' A, acut. add. C 18 ἀπὸ σβέσατε P: ` C ‖

150. ΜΕΛΕΑΓΡΟΥ. A

Εἰς Ζηνοφίλαν | τὴν αὐτοῦ ἐρωμένην. C

Ὀξυβόαι κώνωπες, ἀναιδέες, αἵματος ἀνδρῶν
σίφωνες, νυκτὸς κνώδαλα διπτέρυγα,
βαιὸν Ζηνοφίλαν, λίτομαι, πάρεθ' ἥσυχον ὕπνῳ
εὕδειν, τἀμὰ δ', ἰδού, σαρκοφαγεῖτε μέλη.
καίτοι πρὸς τί μάτην αὐδῶ; καὶ θῆρες ἄτεγκτοι 5
τέρπονται τρυφερῷ χρωτὶ χλιαινόμενοι. M 68v
ἀλλ' ἔτι νῦν προλέγω, κακὰ θρέμματα, λήγετε τόλ-
μης
ἢ γνώσεσθε χερῶν ξηλοτύπων δύναμιν. M 69r

151. ΤΟΥ̃ ΑὐΤΟΥ̃. C. Pl

Εἰς τὴν αὐτήν· | προαγωγοῦ στα|λέντος κώνωπος. A

Πταίης μοι, κώνωψ, ταχὺς ἄγγελος, οὔασι δ' ἄκροις
Ζηνοφίλας ψαύσας προσψιθύριζε τάδε·
"Ἄγρυπνος μίμνει σε· σὺ δ', ὦ λήθαργε φιλούντων,
εὕδεις.' εἶα, πέτευ· ναί, φιλόμουσε, πέτευ.

---

1 sqq. Pl. VII 8 1 τοῦ αὐτοῦ (sc. Meleagri, post A. P. V 147) Pl 2 ἐρωμ̣ C 3 ἀναιδέ∗εσ. C ἀναιδέ.εσ A^{ar} 4 σίφωνεσ ex σίφονεσ (sic Pl^{I}) cr. Pl^{M} | νυκτὸσ P ἀνδρῶν Pl | δι∗πτέρυγα P διάπτ. A^{ar} 5 ζηνοφίλαι? A^{ac} | παραθ' A παρὰθ' C πάρεθ' Pl | ὕπνον Pl 6 τὰμα A^{ac} | σαρκοφαγεῖται P, cr. Pl 7 signum corrupt. ·/· et ζτ adpinxit C m^{e} | καίτοι A idemque Pl^{M} καὶ τί Pl^{E} | προσῆ κα τὴν P (' A, την P^{pr}) προ ση κατην Pl^{M} προσηκάτην Pl^{E} πρὸς τί μάτην Scaliger | αὐδὼ P (καὶ τί πέτροισι μάτην) ᾄδω Jac. | ἄτεκνοι P ('C), cr. Pl 9 ἀλλετι A^{ac} | τ⌊ό⌋λμησ P: o in eraso ε C ‖ 12 sqq. Pl. VII 9 12—13 num. ν et ρν adpinxit C m^{e} 13 στ÷λέντοσ κώνω̃ C 14 πτ⌊αῖ⌋σ C (γρ.πταῖσ praeterea add. C m^{e}) πταίεις A^{ar}; πταίησ Pl cum πετάσαισ supra scripto Pl^{M} 15 πρὸσ ψιθύριζ⌊ετ⌋άδε C (—ετε τάδε A^{ar}) 16 φιλούντω̃ (i. e. φιλούντων, non φιλοῦντα) P φιλοῦντοσ Jac. 17 ἰαπετεῦ C εἰαπετευ A^{ac}; ἴαπετεῦ (sic) Pl^{M} εἶα πέτευ Pl^{E}

ἥσυχα δὲ φθέγξαι, μὴ καὶ σύγκοιτον ἐγείρας
κινήσῃς ἐπ' ἐμοὶ ζηλοτύπους ὀδύνας.
ἢν δ' ἀγάγῃς τὴν παῖδα, δοραῖς στέψω σε λέοντος,
κώνωψ, καὶ δώσω χειρὶ φέρειν ῥόπαλον. M 69r

152. ΑΣΚΛΗΠΙΑΔΟΥ. A

Εἰς Νικαρέτην. C

Νικαρέτης τὸ Πόθοισι βεβλημένον ἡδὺ πρόσωπον,
πυκνὰ δι' ὑψιλόφων φαινόμενον θυρίδων,
αἱ χαροπαὶ Κλεοφῶντος ἐπὶ προθύροισι μάραναν,
Κύπρι φίλη, γλυκεροῦ βλέμματος ἀστεροπαί.

153. ΜΕΛΕΑΓΡΟΥ. A

Ναὶ τὰν νηξαμέναν χαροποῖς ἐνὶ κύμασι Κύπριν,
ἔστι καὶ ἐκ μορφᾶς ἁ Τρυφέρα τρυφερά. P 110 M 69r

154. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Εἰς Ἡλιοδώραν. C

Ἐντὸς ἐμῆς κραδίης τὴν εὔλαλον Ἡλιοδώραν
ψυχὴν τῆς ψυχῆς ἔπλασεν αὐτὸς Ἔρως. M 69r

---

1 ἥσυχα P: ‘C 2 κινήσεις P (retinet Graefe qui verba μὴ — ὀδύνας interrogantis esse vult) κινήσης Pl^{M} | ἐπεμοὶ A | malim ἔριδας 3 ἀγάγησ (Pl^{M}) A, ι supra η scr. C | δορᾷ Pierson et Graefe 4 φορεῖν Herw. ‖ 7 νικαρέτησ ex νικαρέτοις cr. C | πόθοις μεμελημένον Salm. | βεβαμμένον Wilam.; βεβρεγμένον? at cf. Nonn. Dion. V 202 8 ὑψ⌊ο⌋λόφων C ὑψηλόφων A^{ar} γρ ηλῶν supra ολόφων (i. e. ὑψηλῶν) scr. C ὑψιλόφων Reiske ὑψορόφων Schneidew. 9 ἐπι προθύροις ἐμάραναν P, cr. Kaibel ‖ 11 sqq. Pl. VII 10 11 τοῦ αὐτοῦ (sc. Meleagri, post A. P. V 151) Pl: ep. est fort. Asclepiadis, qui Trypherae mentionem facit V 184 12 ναὶ τὰν P νὴ τὰν Pl^{M} νὴ τὴν Pl^{E} | νηξαμέναν P Pl | ἐνι P 13 μορφᾶσ (Pl) A, supra ᾶ scr. ῆ C | 5 ἁ τρυφερὰ P Pl^{M} ἁ Τρυφερὰ Pl^{s} ἁ Τρυφέρα Jac. ‖ 14 sqq. Pl. VII 11 17 αὐτὸσ ἔπλασεν P ἔπλασεν αὐτὸς Pl (cf. A. P. XII 56, 4; 57, 4) αὐτὸς ἔπλασσεν Salm. ἐντὸς ἔπλ. Dilthey | ⌊ἔ⌋ρωσ C ἥρωσ A^{ar} ‖

155. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Εἰς Ἀσκληπιάδα. C

Ἁ φίλερως χαροποῖς Ἀσκληπιὰς οἷα Γαλήνης
ὄμμασι συμπείθει πάντας ἐρωτοπλοεῖν. M 73r

156. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς Ἡλιοδώραν. C

Τρηχὺς ὄνυξ ὑπ' Ἔρωτος ἀνέτραφες Ἡλιοδώρας·
ταύτας γὰρ δύνει κνίσμα καὶ ἐς κραδίην.

157. ΑΣΚΛΗΠΙΆΔΟΥ. AC

Εἰς Ἑρμιόνην | ἑταίραν. C

Ἑρμιόνῃ πιθανῇ ποτ' ἐγὼ συνέπαιζον, ἐχούσῃ
ζώνιον ἐξ ἀνθέων ποικίλον, ὦ Παφίη,
χρύσεα γράμματ' ἔχον· 'διόλου' δ' ἐγέγραπτο 'φί-
λει με,
καὶ μὴ λυπηθῇς, ἤν τις ἔχῃ μ' ἕτερος.' Ap. 51

---

1 sqq. Pl. VII 105 3 ἁ A: η C^s ἡ Pl | χαλεποῖσ P Pl^M Pl$^{I.a}$ χαροποῖς Pl^s | ἀσκληπιάσ A^{ar} | οἷα γαλήνησ ex οἰγαλήνησ corr. C, οἷα γαληνοὶς Pl | Γαλάνας? (Γαλήνη Tyrwhitt quod aeque abiciendum ac γαλήνῃ) 4 συμπείθει A σὺμπείθει C (σὺμ π. Dilthey) ‖ 7 ὑπέρωτοσ P | ἀνατραφὲσ P, cr. Reiske (ἀνετράφη ap. B.^{m}) 8 ταύτησ Br. (sed potius τραχὺς et κραδίαν repon.) ‖ 9 sqq. Ap^m p. 612 Ap^v f. 74^v 9 ἀσκλη A πιάδου add. C (v. ad p. 144, 1), ἄδηλον Ap 10 ⌊εἰσ ἑρμι⌋όνην C (πιάδου A^{ar}) 11 ἙΡμιόνηι P (' A ῾ C) ερμιόνη Ap^m | πότ' P | εγὼ A^{ac} | ποτ' ἐγὼ πιθανῇ Br. | σὺν ἔπαιζον C συνέπαιζον A^{ac} | ἐχοίσῃ Ruhnken: praeferas fort. ὀχούσῃ, nam ἐχούσῃ propter ἔχον habet quod offendat 12 ζώνιον P Ap^v ζωνίον Reiske (τῶν δὲ Ap^m) | ἐξανθέων P ἐξανθῶν Ap^m ἐξάνθῶν Ap^v | ὡς Παφ. Passow; ἐσχατιῇ χρ.? 13 χρύσια A, cr. litt. ε supra scr. C | ἔ⌊χο⌋ν C ἔχων A^{ar} (ap. L.) | διόλου om. Ap. (δι' ὅλου Reiske); cum φίλει iungendum esse διόλου vid. Heck. 15 λυπηθῆσ (Ap^m) A, litt. ι supra ῆ add. C | ἤν C ἦν? A^{ar} | ἔχει μ' Ap^m ⌊ἔχηι μ'⌋ C μ' ἔχηι (sic) A^{ar}; μ' ἕτερός τις ἔχῃ? ‖

158. † ΣΙΜΩΝΙΔΟΥ. A C

Εἰς Βοίδιον | τὴν αὐλητρίδα. C

Βοίδιον ηὐλητρὶς καὶ Πυθιάς, αἵ ποτ' ἐρασταί,
σοί, Κύπρι, τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν.
ἔμπορε καὶ φορτηγέ, τὸ σὸν βαλλάντιον οἶδεν,
καὶ πόθεν αἱ ζῶναι καὶ πόθεν οἱ πίνακες. M 69r

159. ΜΕΛΕΑΓΡΟΥ. A C

Εἰς Δημὼ τὴν | ἑταίραν. C

Δημὼ λευκοπάρειε, σὲ μέν τις ἔχων ὑπόχρωτα
τέρπεται· ἃ δ' ἐν ἐμοὶ νῦν στενάχει κραδία.
εἰ δέ σε σαββατικὸς κατέχει πόθος, οὐ μέγα θαῦμα·
ἔστι καὶ ἐν ψυχροῖς σάββασι θερμὸς Ἔρως.

160. ΗΔΥΛΟΥ, *οἱ δὲ* ΑΣΚΛΗΠΙΑΔΟΥ. A

Εἰς | Εὐφρὼ καὶ Θαΐδα | καὶ Βοίδιον. C

Εὐφρὼ καὶ Θαΐς καὶ Βοίδιον, αἱ Διομήδους
Γραῖαι, ναυκλήρων δλκάδες εἰκόσοροι,

---

1 sqq. ep. *ἀναθηματικὸν* inter *ἐρωτικὰ* exhibet etiam Pl. VII 12 1 *σιμω* A *νίδου* in eadem linea add. C, erasit has ipsas litt. ab A in l. seq. subiectas; *Σιμωνίδου* Pl et cod. Matrit. ap. Ir. p. 95; Hedylo trib. Jac., Asclepiadi Bergk; nolo Leonidae Tar. tribuere, sed cfr. V 205, VI 202. 289 2 ⌊*εἰσ βοί*⌋*διον τὴν αὐλιτρίδα* C (*νίδου* A^{ar}) | ×num. ξ adpinxerat, post erasit C (v. ad p. 145, 5) 3 *ἠὐλητρῖσ* P (' in ` mut. C) *αὐλητρὶς* Pl 4 *ζῶ νὰσ* A^{ar} 5 *βαλλάντιον* P Pl^{M} *βαλάντιον* Pl$^{a\cdot s}$ (*γρ. δὲ καὶ βαλλάντιον τοῦ μετρου, ὡς οἶμαι, χάριν* sch.^{w}) | *οἶδ*⌊*ε*⌋*ν* P ‖ 7—8 *μελε* A *ἀγρου* C | ⌊*εἰσ δη*⌋*μὼ* C (*ἀγρου* A^{ar}) 9 *ὑπὸχρῶτα* C *ὑποχρῶτα* A *ὑπόχρωτα* Heck. *ὑπὸ χλαίνᾳ* Graefe (et Polak) *ὑπὸ λώπᾳ* Jac. 10 *ἐνεμοὶ* A^{ac} ‖ 13 sqq. Pl epigramma non in libro VII exhibet, sed in primo sub titulo *εἰς πόρνας*; redit in Pal. p. 508 (post A. P. XI 9) a B exaratum (ubi Sylburg adscripsit m^{e}: *ξτ* 110 *δὶσ κεῖται*); cf. quae de vetusta Sylloga eiusque ('*Σωροῦ*') poetis docet Reitzenstein, Ined. p. Gr. fr. II 7 13 *σιμωνίδου* B et Pl (ap. Ir. p. 93) 14 *ἐφ*^{v}*ρὼ* et *θαι*^{δ} C 16 *δλκάδεσ* A *δλκ.* B Pl

Ἄγιν καὶ Κλεοφῶντα καὶ Ἀνταγόρην, ἓν' ἑκάστη,
γυμνούς, ναυηγῶν ἥσσονας, ἐξέβαλον.
ἀλλὰ σὺν αὐταῖς νηυσὶ τὰ λῃστρικὰ τῆς Ἀφροδίτης
φεύγετε· Σειρήνων αἵδε γὰρ ἐχθρότεραι. M 17v

161. ΑΣΚΛΗΠΙΑΔΟΥ. AC

Εἰς Φιλαίνιον. C

Ἡ λαμυρή μ' ἔτρωσε Φιλαίνιον· εἰ δὲ τὸ τραῦμα
μὴ σαφές, ἀλλ' ὁ πόνος δύεται εἰς ὄνυχα.
οἴχομ', Ἔρωτες, ὄλωλα, διοίχομαι· εἰς γὰρ ἑταίραν
νυστάζων ἐπέβην, ἠδ' ἔθιγον δαΐδος.

162. ΜΕΛΕΑΓΡΟΥ. AC. Pl

Εἰς Ἡλιοδώραν. C

Ἀνθοδίαιτε μέλισσα, τί μοι χροὸς Ἡλιοδώρας
ψαύεις, ἐκπρολιποῦσ' εἰαρινὰς κάλυκας;
ἦ σύ γε μηνύεις ὅτι καὶ γλυκὺ καὶ δυσύποιστον
πικρὸν ἀεὶ κραδίᾳ κέντρον Ἔρωτος ἔχει;

---

1 ἄγ⌊ι⌋ν C *ἀγειν* (?) A^{ar} *ἀπιν* B *ἆπιν* Pl | *ἐν ἑκάστηι* A Pl$^{I.a}$ *ἐν ἑκάστη* Pl^{M} *ἓν εκάστη* B, cr. Pl^{s} 2 *ἥσσονασ* A^{ac} *ἡσσονασ* B: frustra *εἰκόνας* Polak, (*ναυηγοὺς*) *ἠόνας* (s. *ἠόναδ'*) Herw., *λείψανον* ipse ci. 3 *συν* AB *σὺν* C 4 *αἳ δε* A *αἵ δε* C *αἱ δε* B | *ἐχθ*όταται* P$_1$^{pr} *ἐχθρόταται* A^{ar} *ἐχθρότεραι* B Pl ‖ 5 sq. *ἀσκλη* A *πιάδου* add. C | ⌊*εισ φιλ*⌋*αίνιον* C (*πιάδου* A^{ar}) | num. ξ adpinxit C m^{e} 7 *ἡ* C *ἦ*? A^{ar} | *μετρῶσε* A^{ar}: cf. V 52, 1 8 *δῦνε καὶ*? v. 156, 2 9 *οἴμοι Ἔρ.* Herw. | *διοίχομαι* A *δι' οἴχομαι* C *δὴ οἴχομαι* ap. L. *δὶς οἴχομαι* ap. Buh.^{m} | *ἑταίρ*⌊*α*⌋*ν* C *ἑταίρων*? A^{ar} 10 *ἠδ' ἐθίγον τ' ἀΐδα* A^{ac} *ἠδ' ἐθίγον τ' ἀΐδαι* C *τήνδ' ἔθιγόν τ' Ἀίδα* Meineke *ἡ δ' ἔθιγ' ἀντ' Ἀίδα* Heck. *ἠδ' ἔθιγον δαΐδος* Ludwich, *παγίδος* ego ci. (an *δακέτου*? vel *ἡ δ' ἐδίδου μ' Ἀΐδᾳ*? *τῇδ', ἔθιγον δ' ἀκίδος*? cf. XII 85, 4) ‖ 11 sqq. Pl. VII 13 11—12 *μελε* A *ἄγρου* add. C | ⌊*εἰσ ἡλ*⌋*ιοδώραν* C (*ἄγρου* A^{ar}) 15 *ἦ* ex *ἦ* (?) cr. C, *ἦ* Pl, *ἡ* Passow | *δύσοιστον* A *δύσπιστον* Pl, *τὸ δύσοιστον* Mackail; cr. Salm. (an *κἀπὶ δύσοιστον*?) 16 *κραδία* Pl$^{M.a}$

P 111 *ναὶ δοκέω, τοῦτ' εἶπας· ἰώ, φιλέραστε, παλίμπους*
στεῖχε· πάλαι τὴν σὴν οἴδαμεν ἀγγελίην. M 69r

163. ΑΣΚΛΗΠΙΑΔΟΥ. A

Νύξ, σὲ γάρ, οὐκ ἄλλην μαρτύρομαι, οἷά μ' ὑβρίζει
Πυθιὰς ἡ Νικοῦς, οὖσα φιλεξαπάτης.
κληθείς, οὐκ ἄκλητος ἐλήλυθα· ταὐτὰ παθοῦσα
σοὶ μέμψαιτ' ἔτ' ἐμοῖς στᾶσα παρὰ προθύροις.

164. ΜΕΛΕΑΓΡΟΥ. A

Εἰς Ἡλιοδώραν | τὴν ἑταίραν. C

Ἔν τόδε, παμμήτειρα θεῶν, λίτομαί σε, φίλη Νύξ,
ναὶ λίτομαι, κώμων σύμπλανε, πότνια Νύξ,
εἴ τις ὑπὸ χλαίνῃ βεβλημένος Ἡλιοδώρας
θάλπεται, ὑπναπάτῃ χρωτὶ χλιαινόμενος,
κοιμάσθω μὲν λύχνος· ὁ δ' ἐν κόλποισιν ἐκείνης
ῥιπτασθεὶς κείσθω δεύτερος Ἐνδυμίων.

---

1 τοῦτ' εἶπασ ⌊ὦ⌋ C τοῦτ' εἶπασ ἰὼ (non ἴθι) A^{ar} (ἰὼ ci. Graefe, ἄγ' ὦ Jac.) τοῦτ....ὦ (lac. relicta) Pl^{M} τοῦτ' ἦν τοῦτ' ὦ Pl^{E} | φιλέρα∗στε P (erasa est ante στ litt. ι): noli (φιλέραστ') ἐπὶ σίμβλους inferre ex A. P. XII 249 | ad hunc vs. μέλισσα ὑπουργός adscripsit C m^{e} 2 στ⌊ι⌋χε C στεῖχε A^{ar}, signum ⁜ ab initio vs. et m^{e} posuit C | ἀγγελίαν Gr. ‖ 4 σε A σὲ C | οὐκάλλην A οὐκἄλλην C οὐκ ἄλλον Mein. οὐκ ἀλαὴν Heck. εὐκάλην Ung. οὐκ ἀδαῆ Ludw.; f. οὐ κλίνην | οἷαν A^{ar} οἴαν C οἶον Cunaeus, cr. Salm. | ὑβρίζεισ P, cr. Salm. 5 ab initio vs. sign. ⁜ et in m^{e} ζτ C | πυθιασ. ἠνικουσ (acc. er. supra νι) P | οὐσα P: spir. C οὑσα A^{ar}; φᾶσα FG. Schmidt | φιλ' ἐξαπάτησ C φιλεξαπάτησ A^{ac} φιλεξαπάτις Unger φίλ' ἐξ ἀπάτης apogr. (Schmidt) φίλη, 'ξ ἀπάτης Toup φιλορκαπάτης Lobeck 6 κληθεὶσ' οὐκ' P: apostr. C | ταῦτα P, cr. Salm. 7 καὶ pro σοὶ Schmidt | μέμψετ' A μέμψαιτ' ap. B. | ἐπεμοῖσ A ἔτ' ἐμοῖς Reiske ἐπ' ἐμοὶ Heck. | παρα A παρὰ C ποτε (post ἐπ' ἐμοῖς) ap. B. τάχα Jac. (στᾶσ') ἄπορος Ludw. ἀπάτας Schm. | 9 ἔτ⌊αί⌋ραν (η C^{ar}) P 10 λίσομαι A (λίσομαί C), sed 11 λίτομαι P 12 ὕπο A^{ac} | βεβλημένον A, σ supra ν fin. scr. C 13 ὁρκαπάτῃ Marc. Comes 14 ὁ λύχνος ap. L. | ὃ δ' ἐν C ὁ δ' εν A^{ac} 15 ῥιπτασθεὶς P νυστακτὴς Dilthey (an ὑπνώδης sive ὑπτιάσας?)

165. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς τὴν αὐτήν· | θαυμάσιον, | ἔρωτος ἔμπλεων. C

Ὦ Νύξ, ὦ φιλάγρυπνος ἐμοὶ πόθος Ἡλιοδώρας
καὶ σκολιῶν ὄρθρων κνίσματα δακρυχαρῆ,
ἆρα μένει στοργῆς ἐμὰ λείψανα, καὶ τὸ φίλημα
μνημόσυνον ψυχρᾷ θάλπετ' ἐν εἰκασίᾳ;
ἆρά γ' ἔχει σύγκοιτα τὰ δάκρυα, κἀμὸν ὄνειρον
ψυχαπάτην στέρνοις ἀμφιβαλοῦσα φιλεῖ;
ἢ νέος ἄλλος ἔρως, νέα παίγνια; μήποτε, λύχνε,
ταῦτ' ἐσίδῃς, εἴης δ' ἧς παρέδωκα φύλαξ.

166. ΄ΑΣΚΛΗΠΙΆΔΟΥ. A

Καὶ αὐτὸ ἐρω|τικόν. C

Γετὸς ἦν καὶ νὺξ καὶ ἐπιρρέπον ἄχθος ἔρωτι,
οἶνος, καὶ Βορέης ψυχρός, ἐγὼ δὲ μόνος.

---

1 τοῦ αὖ A 2 ἔμπλ$^{\varepsilon}$ C 3 ὦ: utroque l. ˉ restitut. C
4 σκοτίων Reiske κρυερῶν Salm. | ὀρθῶν A^{ac} in ὄρθ$^{\varrho}$ων mut. C; οἴστρων? | δακιχαρή A^{ar} δακιχαρῆ C δακρυχαρῆ apogr. δακνοχαρῆ et δακνοχερῆ Boiss. δηξιχαρῆ Br. 5 ἆρα: circ. A et C | ἐμὰ C ἐ μ ο ὶ A^{ac} μοι ap. L^{m} | κὅττι P (× sign. etiam in m^{e} adpinx. C) καί τι ap. G. et R. κάτι Purgold καὶ τὸ Jac. (χὅττι φίλησα Reiske)
6 ψυχρ$_{\text{L}}$ᾷ$_{\text{J}}$ι C ψυχρῶι A^{ar} ψυχᾶς apogr. | θάλπετ' ** P θάλπεται A^{ar} | ἐνοικισίαι P ἐν εἰκασίᾳ Graefe (postquam Purg. ci.: κάτι φίλῃ μου μνημόσυνον ψυχῇ θάλπεται εἰκασία) 7 ἆράγ': ΄ C (noli ἦ ῥά γ' rep.: cf. XII 84, 7) | καμὸν A^{ac} κἀμὸν C (quod in κἠμὸν mutandum, si quis dorice ep. scriptum volet) κἄμ' (καί μ'?) ἀν' Wyttenb. κἄμ' ἐν (ὀνείρῳ ψυχαπάτῃ) Heck. 8 στέρνοισ* (er. ι) P | ἀμφὶβ. C | post φιλεῖ erasa est clausula 9 ἢ* P ἦν A^{ar}
10 ἐσίδηισ A ἐσΐδηισ C ἐσίδοις Br. | ἥσπερ ἔδωκα ap. Lips. (παρἔδωκα ex παρέδωκα C) ‖ 13 καὶ τρίτον P καὶ τὸ τρίτον apogr. καὶ δὴ τρ. Piccol. καὶ τρῦχόν μ' Ludwich καὶ τριπλόον Mähly; ἐπιρρέπον et ἐπίρρυτον conieci | ἄχθος FG. Schmidt, ἄλγος P | (ἄλγος) ἐρῶντι O. Schneider ἔρωτος Ludwich 14 οἶνοσ (C ὄινοσ A^{ar}) καὶ P αἰνότατον Geel αἰνὸν καὶ Ludw. οἰστρώδει FG. Schmidt (ἐρῶντι) ἐνδίῳ et οἰστὸν δὴ Herw. | excidisse nonnulla post v. 2 et 4 suspicatur Salm., post ἴσχνεν (v. 3) Jac.

ἀλλ' ὁ καλὸς Μόσχος πλέον ἴσχυεν· 'αἰ σὺ γὰρ οὕτως
ἦλυες, οὐδὲ θύρην πρὸς μίαν ἡσυχάσας·'
παιδὶ τοσοῦτ' ἐβόησα, βεβρεγμένος — ἄχρι τίνος, Ζεῦ;
Ζεῦ φίλε, σίγησον, καὐτὸς ἐρᾶν ἔμαθες.

167. ΄ΑΔΗΛΟΝ. A. Pl

Ἐπ' ἔρωτι | μαινομένῳ. C

Καὶ πυρὶ καὶ νιφετῷ με καί, εἰ βούλοιο, κεραυνῷ
βάλλε καὶ εἰς κρημνοὺς ἕλκε καὶ εἰς πελάγη.
τὸν γὰρ ἀπαυδήσαντα πόνοις καὶ Ἔρωτι δαμέντα
οὐδὲ Διὸς τρύχει πῦρ ἐπιβαλλόμενον. M 69r

168. ΄ΑΣΚΛΗΠΙΑΔΟΥ. A

Ἡδὺ θέρους διψῶντι χιὼν ποτόν, ἡδὺ δὲ ναύταις
ἐκ χειμῶνος ἰδεῖν εἰαρινὸν Στέφανον·
ἥδιον δ', ὁπόταν κρύψῃ μία τοὺς φιλέοντας
P 112 *χλαῖνα, καὶ αἰνῆται Κύπρις ὑπ' ἀμφοτέρων.* M 76r

---

1 *μόσχος* P, *Μόσχ.* Meineke: puellam Piccolos, amasium alii putant dici, rivalem Ludw. | *ἴσχυεν* (*ἴσχυε* apogr.) *καὶ* P: *εἰ* pro *καὶ* rest. Herm., *αἰ* Piccolos, idem cum Geistio post *ἴσχυεν* statim verba *ἄχρι — ἔμαθες* (v. 5 sq.) subiecit, tertium distichon constituit: *τῇ δὲ τοσοῦτ' ἐβ. βεβρεγμένος* (v. 5)· *'αἰ σὺ γὰρ — ἡσύχασας'* (v. 3 sq.) | *συγὰρ* A^{ac} 2 *ἤλυθες* P, *ἦλυες* Picc. | *προσμίαν* A^{ac} | *ἡσυχάσασ* (' C *ἡσ.* A^{ac}) P *ἡσύχασας* Reiske (Ludw.) 3 *τῆιδε* A (*ibi* Jac.) *τῆι δὲ* C (' *αἰ* —) *τήνδε'* Ludw. (partim cum Herm.); *τῷ δὲ τοσαῦτ'* Dübner (qui vs. ordinem cum Geistio mutavit); *τῷ δ' ἐγὼ αὖτ' ἐβ.* Mähly (qui verba *ἄχρι — ἔμαθες* praemissa Moscho, non amatori tribuit), scripsi *παιδὶ*; ab initio vs. et in m^e ⁜ adpinxit C 4 *σίγησον* P, *σιγήσω* Herm.; f. *συγγνωστόν* ‖ 5 sqq. Pl. VII 14 5 *ἄδηλον* A Pl (in Pl^1 ep. nullo lemmate iunctum est cum A. P. V 162): Posidippi? 6 *μαινομεν˜* C 7 fort. *καὶ πυκινῷ νιφετῷ* 8 *ἐς — ἐς* Br. | ⌊*ἕλκε καὶ εἰς πελάγη*⌋ C *καὶ εἰς* ⟨*πελάγη ἕ*⟩*λκε* A^{ar} 9 *πόνοισ* A, supra *ν* scripsit *θ* C, *πόθοις* Pl 10 *ἐπιβ.* ex *ἐπιβ.* C ‖ 11 sqq. Pl. VII 206 11 om. nom. Pl 12 *χιὼν* A^{ar} (cf. 182, 2) | *ἡδὺ δεναύταισ* A^{ac} *ἥδιον αὖτις* Wilam. 13 *εἰαριανὸν* ante corr. Pl^M | *στέφ*⌊*ανον*⌋ C *στέφος* A^{ar}, *ζέφυρον* Heck. *Στέφανον* Ludw. 14 ÷ *ἡδεῖον* (*ἡ* ex *ἥ*? cr. C) P, signum ÷ add. C,

169. ΝΟΣΣΙΔΟΣ. A

Εἰς Ἔρωτα. C

Ἄδιον οὐδὲν ἔρωτος· ἃ δ' ὄλβια, δεύτερα πάντα
ἐστίν· ἀπὸ στόματος δ' ἔπτυσα καὶ τὸ μέλι.
τοῦτο λέγει Νοσσίς· τίνα δ' ἃ Κύπρις οὐκ ἐφίλησεν,
οὐκ οἶδεν τήνας τἄνθεα ποῖα ῥόδα.

170. ΜΕΛΕΑΓΡΟΥ. A. Pl

Εἰς Ζηνοφίλαν. C

Τὸ σκύφος ἀδὺ γέγηθε· λέγει δ' ὅτι τᾶς φιλέρωτος
Ζηνοφίλας ψαύει τοῦ λαλιοῦ στόματος.
ὄλβιον· εἴθ' ὑπ' ἐμοῖς νῦν χείλεσι χείλεα θεῖσα
ἀπνευστὶ ψυχὰν τὰν ἐν ἐμοὶ προπίοι. M 69r

171. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς Δημὼ τὴν | αὐτοῦ ἐρωμένην. C

Ὄρθρε, τί μοι, δυσέραστε, ταχὺς περὶ κοῖτον ἐπέστης,
ἄρτι φίλας Δημοῦς χρωτὶ χλιαινομένῳ;

---

idem m^{e}: *γρ. ἧδιστον*; Jac. *ἥδιον* (Dilthey *ἡδύτερον*; cf. XII 153, 4. 36, 3) | *ἡδὺ ὁπόταν* spatio intermisso inter duo voc. Pl^{M}, *δὲ καὶ* inseruit m. rec.; *ἡδὺ δὲ καὶ ὁπόταν* Pl^{E} | *δ' ὁπότ' ἂν* P p. 148, 15 ab initio vs. signum corruptelae ⁜ et in m^{e} *ζτ* scripsit C | *αἰνεῖται* P, cr. Pl (*ἀσκῆται* FG. Schmidt, nec hoc nec *ἄνηται* vel *ἄντηται ἀπ' ἀμφ.* videtur praeferendum) | *ὑπαμφοτέρων* A^{ac} || 3 *ἃ δ' ὄλβια* ap. Lips. *τὰδ' ὄλβια* P *ἔρωτος* Salm. 4 *ἀπο* A^{ac} 5 *τίνα δ'* (´ A^{ar} C) P *τινὰ δ'* Br. (Jac.) *τὰν δ'* Bentl. | *οὐκεφίλησεν* A *οὐκ ἐφίλασεν* Br. 6 *οὐκοῖδεν* A | *κῆνατἄνθεα* ex *κῆνατάνθεα* cr. C (qui ⁜ signum supra *κ* et in m^{i} adpinxit) *κήνα τ' ἄνθεα* ap. L., *κήνας ἄνθεα* Reiske *τήνας ἄνθ.* ap. G. *κήνας τἄνθεα* Meineke *τῆνος ἄνθεα* Wakefield *κῆνος τἄνθεα* Mähly; scripsi *τήνας τἄνθεα* (cf. VI 275. 354, VII 718), an *τὰν δ' ἃ K.* — *τήνα τἄνθεα*? || 7 sqq. Pl. VII 15 9 *ἡδὺ* P Pl, cr. Gr. | *γελᾷ* s. *χλιδᾷ δ'* ? | *τὰσ* A | *φιλέρωτ⌊οσ⌋* C *φιλέρωτασ* A^{ar} 10 *λαλίου* C *λαλιοῦ* A^{ar} 11 *εἰθὑπεμοὶσ* A^{ac} | *ἐπ' ἐμοῖς* Herw. (Dilthey) | *νῦν χείλεσι* A *χείλεσι* Pl^{M} *χείλεσσιν* Pl^{E} 12 *ἐνεμοὶ* P || 13 sqq. Ap^{m} p. 600 sq., Ap^{v} f. 96^{v} 13 *ἄδηλον* Ap | num. ō add. C m^{e} 14 *την* C 15

εἴθε πάλιν στρέψας ταχινὸν δρόμον Ἔσπερος εἴης·
ὦ γλυκὺ φῶς βάλλων εἰς ἐμὲ πικρότατον.
ἤδη γὰρ καὶ πρόσθεν ἐπ' Ἀλκμήνην Διὸς ἦλθες
ἀντίος· οὐκ ἀδαής ἐσσι παλινδρομίης. Ap. 9

172. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς τὴν αὐτὴν | Δημώ. C

Ὄρθρε, τί νῦν, δυσέραστε, βραδὺς περὶ κόσμον ἑλίσσῃ,
ἄλλος ἐπεὶ Δημοῦς θάλπεθ' ὑπὸ χλανίδι;
ἀλλ' ὅτε τὰν ῥαδινὰν κόλποις ἔχον, ὠκὺς ἐπέστης,
ὡς βάλλων ἐπ' ἐμοὶ φῶς ἐπιχαιρέκακον.

173. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς Ζηνοφίλαν. C

Εὕδεις, Ζηνοφίλα, τρυφερὸν θάλος· εἴθ' ἐπὶ σοὶ νῦν
ἄπτερος εἰσήειν ὕπνος ἐπὶ βλεφάροις,
ὡς ἐπὶ σοὶ μηδ' οὗτος, ὁ καὶ Διὸς ὄμματα θέλγων,
φοιτήσαι, κάτεχον δ' αὐτὸς ἐγώ σε μόνος.

δυσέραστ⌊ε⌋ C δυσέραστον A^{ar}, f. δυσέρωτι (cf. XII 137, 1) | περικοῖτον A^{ac} παρὰ κοῖτος Ap^{v} παρὰκόιτος Ap^{m} | ὑπέστης apogr. quaedam p. 149, 16 φίλης Ap | χρωτῐ̆ P: ′ A ` C | χλιηναμένῳ Graefe

1 ἔσπερος A^{ac} Ap^{m} 2 ὡς γλυκὺ φῶς P ὦ γλ. φ. apogr. γλυκυφάες Ap^{m} γλυκὺ φάος Ap^{v}; fort. σὸν γλ. | βαλλῶν Ap^{m} (βάλλῃς ap. Buh.^{m}) 3 ἐπαλκμήνην P, ἔπ' Ἀλκμήνῃ Reiske (ap. Lips. consent. cum P) 4 οὐκαδαὴς A^{ac} Ap^{m}, οὐκ ἀδαὴς δ' apogr. frustra nec malim οὐδ' ἀδαὴς | ἐσσὶ (' C)P ἔσσι Ap^{m} || 7 τί νυν A^{ac} | δυσάρεστε? | περικόσμον ἐλίσσηι A^{ac} 9 ἐπεὶ ex ἐπὶ C | ⌊θάλπεθ'⌋ C ἐλίσσεθ' A^{ar} 10 ἀλλότε A | ἔχ⌊ο⌋ν C ἔχων A^{ar} | εὐθὺς Reiske | ⌊ἐπ⌋έστης P: ἐπ in eraso ἐσ (non ὑπ) C 11 signum corruptelae ⁎ et in m^{e} et m^{i} C | ἐπεμοὶ A^{ac} | ἐπὶ (C, ἐπι A) χεῖρε κακόν P, cr. apogr. || 13 εἰσ ζηνοφίλᾳ C 14 θά⁎λοσ P θάλλος A^{ar} 15 εὔπτερος Salm. | εἰσήειν P εἰσείην ap. L. | ἐπὶ ex ἐπι C, ὑπὸ Salm. 14 sq. εἴθ' ἐπὶ σοῖς — ἐγὼ βλεφάροις Polak 16 ἐπι σοί A^{ac} | μὴ δ' P | ὁμματα A^{ac} 17 φοιτῆσαι P: circ. A

174. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς τὴν αὐτὴν Ζηνοφίλαν. C

Οἶδα· τί μοι κενὸς ὅρκος, ἐπεὶ σέ γε τὴν φιλάσωτον
μηνύει μυρόπνους ἀρτιβρεχὴς πλόκαμος,
μηνύει πανάγρυπνον, ἰδού, βεβαρημένον ὄμμα
καὶ σφιγκτὸς στεφάνων ἀμφὶ κόμαισι μίτος;
ἔσκυλται δ' ἀκόλαστα πεφυρμένος ἄρτι κίκιννος,
πάντα δ' ὑπ' ἀκρήτου γυῖα σαλευτὰ φορεῖς.
ἔρρε, γύναι πάγκοινε· καλεῖ σε γὰρ ἡ φιλόκωμος
πηκτὶς καὶ κροτάλων χειροτυπὴς πάταγος.

175. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Εἰς Ἔρωτα. C

Δεινὸς Ἔρως, δεινός. τί δὲ τὸ πλέον, ἢν πάλιν εἴπω
καὶ πάλιν οἰμώζων πολλάκι 'δεινὸς Ἔρως';
ἦ γὰρ ὁ παῖς τούτοισι γελᾷ καὶ πυκνὰ κακισθεὶς
ἥδεται· ἢν δ' εἴπω λοίδορα, καὶ τρέφεται.
θαῦμα δέ μοι, πῶς ἆρα διὰ γλαυκοῖο φανεῖσα
κύματος ἐξ ὑγροῦ, Κύπρι, σὺ πῦρ τέτοκας. M 73r

---

et manifestiorem add. C, φοιτήσαι (et φοιτήσῃ) Br. φοίτησεν Emperius; (ὥς σ' ἐπέχοι) φοιτήσας quod olim ci., nunc reicio ‖ 2 αὐτὴν mut. ex αὐτήν: C addens ζηνοφίλαν 3 οἶδα ὅτι P: tollitur α punctis infra positis; οἶδα· τί (v. 188, 1) ego 4 μυρόπνους ex μυρίπν. cr. C 5 μηνύει ἄγρυπνον μὲν P; μην. δ' ἄγρυπνον Dübner, μην. μὲν ἄγρυπνον vel μην. ἄγρ. μάλ' Jac., scripsi πανάγρυπνον cl. VII 195, 5 (an μηνύει σέ γ' ἄγρ.?) 6 ἀμφι P 7 ἀκόλαστ⌊α⌋ C ἀκόλαστος A^{ar} 8 ὑπακρήτου A^{ac} ‖ 11 sqq. Pl. VII 106 13 δε τὸ A δὲ τὸ C Pl (τὸ om. Pl^{w}) 14 ⌊οἰμ⌋ώζων Pl^{M} (οι exaravit Pl in eraso αγ vel αι; fort. αἰάζων erat scripturus) 16 τρυφάει ci., sed τρέφεται non mutandum: v. V 271, 2 17 δέμοι P (' A^{ar} C) δ' ἐμοὶ Br. | ἄρα P Pl^{E} ἆρα Pl^{M} | διὰ (' C) γλυκοῖο P, cr. Pl 18 κύπρισ ὑπερ A^{ac} idemque initio scripserat Pl^{M}; in κύπρισ ὑ̃περ (i. e. κύπρι σὺ πῦρ) mut. m. rec. in P, idemque exhibent Pl^{M} (p. c.) et Pl^{E} ‖

176. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Εἰς Ἔρωτα, ποῖα | τὰ ἰδιώματα | τούτου. C

Κηρύσσω τὸν Ἔρωτα, τὸν ἄγριον· ἄρτι γάρ, ἄρτι
ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκύς, ἀθαμβής,
σιμὰ γελῶν, πτερόεις νῶτα, φαρετροφόρος.
πατρὸς δ' οὐκέτ' ἔχω φράζειν τίνος· οὔτε γὰρ Αἰθήρ,
οὐ Χθὼν φησι τεκεῖν τὸν θρασύν, οὐ Πέλαγος.
πάντῃ γὰρ καὶ πᾶσιν ἀπέχθεται. ἀλλ' ἐσορᾶτε
μή που νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.
καίτοι κεῖνος, ἰδού, περὶ φωλεόν. οὔ με λέληθας,
τοξότα, Ζηνοφίλας ὄμμασι κρυπτόμενος. M 69r

177. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Ὁμοίως ἐπηρεαστικὸν εἰς | Ἔρωτα. θαυμαστόν. C

Πωλείσθω, καὶ ματρὸς ἔτ' ἐν κόλποισι καθεύδων·
πωλείσθω. τί δέ μοι τὸ θρασὺ τοῦτο τρέφειν;
καὶ γὰρ σιμὸν ἔφυ καὶ ὑπόπτερον· ἄκρα δ' ὄνυξιν
κνίζει· καὶ κλαῖον πολλὰ μεταξὺ γελᾷ.
πρὸς δ' ἔτι λοιπὸν ἄτρεπτον, ἀείλαλον, ὀξὺ δεδορκός,
ἄγριον, οὐδ' αὐτᾷ ματρὶ φίλᾳ τιθασόν· 6

---

1 sqq. Pl. VII 16 2 ἰδιώματ÷ C 4 ὀρθρινὸς A^{ac} ὄρθριος Graefe | ἀποπτάμενος C 5 γλυκύπικρος Heck. λιγύδακρυς Dilthey | ἀείλαλος (acut. A^{ar} C, hyphen subicit C) P ἀείλαλος Pl^{M} | ἀταρβής Heck. 6 · νῶτα. distinx. C, νῶτα φαρ. iungit Pl: cf. Mosch. I 20 8 χθὼν φησὶ P Pl^{M} 9 πάντηι P $Pl^{1.a}$ πάντη $Pl^{M.s}$ | πάσιν A^{ar} | ἐσὸραῖτε P ἐφορᾶτε Bothe 10 ἄλλα: acc. add. C; ἄμμα (λίνου) Ruhnken, malim οὖλα 11 περὶ φωλ⌊ε⌋όν C περιφωλαιόν A^{ar} 12 τοξεῦ Gr.; λοξοῖς? ‖ 13 sqq. Pl. VII 17 14 επερ⌊γαστικὸν C, cr. Boiss. | lemmati add. θαυμαστ⌈ C 16 τί δεμοι A τί δέμοι C (δ' ἐμοὶ Br.) 17 ὄνυξιν P ὄννυξι Pl 18 post πολλὰ prave distinx. C et Pl^{M} 19 ab initio vs. est signum corruptelae ⁜ | πρὸ⌊σ δὲτί⌋ C πρὸσιδὲ? A^{ar} πρὸς δ' ἔτι Pl | λοι-

πάντα τέρας. τοιγὰρ πεπράσεται. εἴ τις ἀπόπλους
ἔμπορος ὠνεῖσθαι παῖδα θέλει, προσίτω.
καίτοι λίσσετ', ἰδού, δεδακρυμένος. οὔ σ' ἔτι πωλῶ·
θάρσει· Ζηνοφίλᾳ σύντροφος ὧδε μένε. M69r

178. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Εἰς Ἔρωτα. περί|εργον, ὡραῖον. C

Ναὶ τὰν Κύπριν, Ἔρως, φλέξω τὰ σὰ πάντα πυρώσας
τόξα τε καὶ Σκυθικὴν ἰοδόκον φαρέτρην.
φλέξω, ναί — τί μάταια γελᾷς καὶ σιμὰ σεσηρὼς
μυχθίζεις; τάχα που σαρδάνιον γελάσεις.
ἦ γάρ σευ τὰ ποδηγὰ Πόθων ὠκύπτερα κόψας
χαλκόδετον σφίγξω σοῖς περὶ ποσσὶ πέδην.
καίτοι Καδμεῖον κράτος οἴσομεν, εἴ σε πάροικον
ψυχῇ συζεύξω, λύγκα παρ' αἰπολίοις.

πὸν P λῖρον Lobeck (πρὸς δ' ἐπίλυπον Polak); licet ci. *λάβρον, λίχνον, γοργόν, λοιγόν* (adiective); an πρὸς δ' ἐπίληψιν? | ἄθρεπτον P Pl$^{M.a}$ ἄτρεπτον Pl$^{I.b}$ ἄτρεστον Pl^{s} | ἀείλαλον A; acc. in signum ˣ mut. C, hyphen addens | δεδορκ$_{L}$ὸ$_{J}$σ C δεδορκώσ A^{ar} p. 152, 20 αὐτῇ P, cr. Pl | μητρὶ φίλῃ P φίλᾳ ματρὶ (sed iusto ordine litt. β et α indicato) Pl^{M} | τίθασον P

1 τοὶ γαρ πεπράσσεται P, cr. Pl | ἐπίπλους Herw. 2 ὧν εἶσθαι? A^{ar} | θέλει P idemque Pl$^{M.I}$ θέλοι Pl$^{a.s}$ 3 ἰδοὺ C ἰδοῦ A^{ac} Pl^{M} | δεδακρυμένον Pl^{I} | οὔ σ' ἔτι ex οὐ σετι cr. C, οὔ τι σε Pl 4 ζηνοφίλα P (cum acc. eraso supra η), Pl^{M} Ζηνοφίλᾳ Pl^{E} | ὧδε C ὦδε Pl^{M} ὥδε Pl$^{a.I}$ ‖ 5 sqq. Pl. VII 107 7 φλέξ$_{L}$ω$_{J}$ C φλέξον A^{ar} 9 ναὶ φλέξω Herw. (idem proposuerat Graefe repudiavitque abrumpi sermonem intellegens) | γελᾶι (non γελᾶν) P, cr. Pl | σιμασεσηρῶσ A^{ac} 10 μυχθίζεις (v. Suid. s. σιμός): μ ex ν cr. C | ταχά P τάχά Pl^{M} | σαρδάνιον P idemque Pl^{M} et Suid.^{A} (s. v. μυχθίζεις), σαρδόνιον Pl^{E} σαρδώνιον omisso που Suid.^{V}; cet. cf. quae Ludw. de forma vocis ad Od. ν 302 adnotat | γελάσεισ P (άσ corr. ex αῖ), γελάσει Dübner 11 ἦ A ἢ C εἰ Pl | γὰρ σεῦ P | σοι Gr. | ποδηγᾶ P: ` C ´ A | (τάδ' ὀδηγὰ ποδῶν Purgold) τάδ' ὀπηδὰ *Π.*? 12 π$_{L}$έ$_{J}$δην C πόδην A^{ar} 13 κάδμειον A^{ac} | παρ' οἶκον C sed πάροικον A^{ar} 14 λυγρὰ (accent. C A^{ar}) P Pl λύγκα Jac. | παραιπολίοισ A^{ac}

ἀλλ' ἴθι, δυσνίκητε, λαβὼν δ' ἔπι κοῦφα πέδιλα
P 114 *ἐκπέτασον ταχινὰς εἰς ἑτέρους πτέρυγας.* M 73r

179. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Εἰς τὸν Ἔρωτα, | ὅτι μητέρα μὲν | ἔχει τὴν Ἀφροδίτην, | πατέρα
5 *δὲ οὐδένα, | πάντων δὲ γέμει τῶν κακῶν.* L

Τί ξένον, εἰ βροτολοιγὸς Ἔρως τὰ πυρίπνοα τόξα
βάλλει καὶ λαμυροῖς ὄμμασι πικρὰ γελᾷ;
οὐ μάτηρ στέργει μὲν Ἄρη, γαμετὰ δὲ τέτυκται
Ἀφαίστου, κοινὰ καὶ πυρὶ καὶ ξίφεσι;
10 *ματρὸς δ' οὐ μάτηρ ἀνέμων μάστιξι Θάλασσα* 5
τραχὺ βοᾷ; γενέτας δ' οὔτε τις οὔτε τινός.
τοὔνεκεν Ἀφαίστου μὲν ἔχει φλόγα, κύμασι δ' ὀργὰν
στέρξεν ἴσαν, Ἄρεως δ' αἱματόφυρτα βέλη. M 73r

---

1 *δυσκίνητε* Pl | *λαβὼν επι* A (supra *ν* erasum est *δ'* sive *δὲ*) *λαβὼν δ' ἐπὶ* C (qui *γρ. λαβὼν δ' ἐπὶ κοῦφα* insuper add. m^{e}) Pl (*λαβών δ' ἐπὶ* Pl^{M}) *λαβὼν δ' ἔπι* Br. 2 *ἑτέρουσ* P ‖ 3 sqq. Pl. VII 108 4 *ἀφρο*^{δ} L 5 *πάντ̄* (= *πάντων*) et *τ̄ κακῶν* P^{pr} *πάντ÷* (= *πάντα*) et *τα κακά* L^{ac} 6 *ξτ* add. C m^{e} | *τίξενον* P | *τόξα∗* P *τόξαν* P^{ar} 7 *πικρά* A *πικρὰ* C Suid.^{A} ac Suid.^{V} (s. v. *λαμυρόν*) *πυκνὰ* Pl Suid.$^{m.p}$ 8 *μήτηρ* Pl | *ἄρη∗* C *ἀρὴν* A^{ar} | *γαμέτ⌊ι⌋σ* C (Pl) *γαμετα* A^{ar} 9 (et l. 10) *ἠφαίστου* Pl | *κοινὴ* Pl | *ξίφεσι*; (sign. interr. C) P *ξίφεσιν* Pl 10 *μητρὸς* et *μήτηρ* Pl | *δ' οὐ* C *δ' οὖ*? A^{ar} (*δ' οὖ* hic et *οὖ μ.* v. 3 d'Orv.) *μάστιξι∗∗* P *μ. δὲ* A^{ar}; an *μ. δαμεῖσα* s. *σαλευτὰ*? 11 *τρηχὺ* Pl *γενέτισ* A^{ac} *γενέτ*^{α}*ησ* C | *οὐ τετισ* A *οὔ τέτισ* CPl | *οὐ τέτινοσ* A *οὔ τέτινοσ*; C *οὔτε τίνος* Pl | *γενέτης δ' οὔτε τίς οὔτε τίνος* (ut vox *ἴσμεν* suppleatur) Jac., *γενέτας δ' οὔτε τις οὔτε γένος* Herw. *γενέτα δ' οὐδέ τις οἶδε τίνος* Polak; *γενέτας δ' οὐδέ τις ἔστ' ἐτύμως* sive *ἔστ' ἀτενές* et *γενέταν δ' οὐδέ τις οἶδ' ἐτύμως* ego olim ci.; at v. VII 470, 1 12 *φλ⌊ό⌋γα* C *φλέγα* A^{ar} | *ὀργᾶν* P *ὀργὴν* Pl 13 *στέρξεν*: supra *σ* signum ÷ adpinx. C | verba *ἴσαν ἄρεωσ δ' αἱματό* in ras. scr. C | *ἴσην* Pl | *ἄρεωσ* Pl^{M} *Ἄρεος* Pl^{E} *αἱματό∗φυρτα* (erasa litt. *ι* ante *φ*) Pl^{M} | *⌊β⌋έλη* C *μέλη* (iunctim cum praeced. *τα*: *ταμελη*) A^{ar}; praeterea *γρ μέλη* supra adposuit C | totum vs. repetit C m^{e}: ÷ *στέρξεν ἴσον* (sic) *ἄρεωσ δ' αἱμα⌊τόφυρτα βέλη⌋* ⁜ (ante ras. C per errorem scripserat, ut videtur: *αἱμάφυρτα βέλη*) ‖

180. ’ΑΣΚΛΗΠΙΆΔΟΥ. A

Τοῦτο οὐκ ἐρωτικόν, | ἀλλὰ καπηλικὸν | καὶ κώμου μεστόν. C

Καρίδων ἡμῖν λαβὲ δωδεκάδ’· ἀλλὰ πιθήσεις;
καὶ πέντε στεφάνους τῶν ῥοδίνων. τί τὸ πάξ;
οὐ φῄς κέρματ’ ἔχειν; διολώλαμεν· οὐ τροχιεῖ τις
τὸν Λαπίθην; λῃστήν, οὐ θεράποντ’ ἔχομεν.
οὐκ ἀδικεῖς; οὐδέν; φέρε τὸν λόγον· ἐλθὲ λαβοῦσα,
Φρύνη, τὰς ψήφους. ὦ μεγάλου κινάδους·
πέντ’ οἶνος δραχμῶν, ἀλλᾶς δύο . . . . .
ᾠά, λαγώς, σκόμβροι, σησαμίδες, σχαδόνες.

---

1 Posidippo tribueris conlatis 180, 10 et 212, 3; sed cf. V 184 2 *ἐρωτικ̀* et *καπηλικ̀* C | *κωΰ* C 3 ab initio vs. *ζτ* adpinxit C | *τῶν καρίων — κώλακασ* P (litt. *κω* manifestiores redd., non ex *κο* cr. C), *τῶν κ. — κωλάδας* apogr., *τῶν χορίων — κῶλα δύ’* Salm., *τρεῖς Καρίων — κόλλικας* contra num. Jac., *τῶν καρύων* (Ruhnken) — *σώρακον* idem Jac., *Ζωναρίων* (*Ζώπυρ’ ἰὼν* et *Ζωπυρίων*) — *κώλακας* Meineke, *τῶν παριὼν* (et *τῶν παρ ἰὼν*) — *κλώνακας* Herm. (mancum ab initio carmen ducens cum Br.), *κωδαρίων — λωπάδας* Mähly, *καρίδων — δωδεκάδ’* ego ci.: cf. V 184, 3 sq. | *λάβε* P | *πόθ’ ἥξει* (˝ rest. C) P (*ἀλλ’*) *ἀπόθρεξον* (vel *ἄγε θρέξον*) Jac., *ἀπολέξεις* (s. *ἀπολέξῃ*) Mein., *κονήσεις* Mähly; *πιθήσεις* scripsi (an *τρόχαζε*? cf. V 182, 5) | verba *ἀλλὰ* (‘ C) *πόθ’ ἥξει* .. (sc. *τὸ πάξ*) tribuit servo Herm., diverbium inter herum servumque cum Br. statuens 4 *ῥοδίνων* C *ροδινῶν* A^{ar} | *τετό παξ* P *αν̄* (= *ἀντὶ*) *τὸ ἅπαξ* in fine vs. add. C; (*τε τὸ πᾶν* Salm.) *δ’ ἀπόπαξ* Br. *τ’ ἀπόπαξ* Bothe; *δέ· τί πάξ* s. *τί τὸ πάξ* Mein. (herus *τί*; serv. *τὸ πάξ* Herm.) *τε, πόπαξ* Heck. *τέτορας* Reiske 5 *φῆς* A | ⌊*ἔ*⌋*χειν* C *οχειν*? A^{ar} 6 *λαπίδην* (sic S.^{V}) *λῃστὴν* iungit Suid. s. v. *τροχαῖον* 7 *οὐκαδικεῖσ οὐδέν.* (punctum et acutum C) P *οὐκ ἀδικεῖς; οὐδέν;* Jac. *οὐκ ἀδικεῖς οὐδέν*; vel (herus) ‘*οὐκ ἀδικεῖς*;’ (serv.) ‘*οὐδέν.*’ cum Br. Meineke 8 *ὡς μεγάλου κιναίδου* Suid. (s. v. *κίναιδος*) | *ὦ μιαροῦ*? 9 signum ˣ in m^{1} et cum *ζτ* post *δύο* exaravit C | *οἶνος* P (etiam ap. L., non *οἶνα*) *οἶνον* Reiske | *ἄλλοσ* P (Herm.) *ἄλλας* Br. *ἀλλᾶς* ap. B. (Mein.) | *δύο* A imperfectum vs. relinquens; *δυο ⟨καίδεκ’. ἐπίσχες⟩* Herm., qui verba *πέντ’ — δυοκαίδεκ’* servo tribuit; *δύο ⟨πέντε θ’ ὕεια⟩* Mein.; *δύο ⟨ , πέντε τάριχος⟩* ego tentavi 10 *ὦ τα λέγεισ* P *ᾠὰ λαγώς* (et *νώγαλα κτείς*!) Jac. *ὦτα λαγώς* Meineke *ὠταλγεῖς*

αὔριον αὐτὰ καλῶς λογιούμεθα. νῦν δὲ πρὸς Αἴσχραν
τὴν μυρόπωλιν ἰὼν πέντε λάβ' ἀγρυρέας·
εἰπὲ δὲ σημεῖον, βακχῶν ὅτι πέντ' ἐφίλησεν
ἑξῆς, ὧν κλίνη μάρτυς ἐπεγράφετο.

181. ΜΕΛΕΑΓΡΟΥ. A

Ἐρωτικὸν καὶ | μανίας μεστόν. C

Ἄγγελον τάδε, Δορκάς· ἰδού, πάλι δεύτερον αὐτῇ
καὶ τρίτον ἄγγελον, Δορκάς, ἅπαντα: τρέχε.
μηκέτι μέλλε, πέτου· βραχύ μοι, βραχύ, Δορκάς, ἐπίσχες.
Δορκάς, ποῖ σπεύδεις, πρίν σε τὰ πάντα μαθεῖν;
πρόσθες δ' οἷς εἴρηκα πάλαι — μᾶλλον δ' ἔτι λῃρῶ;
μηδὲν ὅλως εἴπῃς — ἀλλ' ὅτι — πάντα λέγε·
μὴ φείδου τάδ' ἅπαντα λέγειν — καίτοι τί σέ, Δορκάς,
ἐκπέμπω, σὺν σοὶ καὐτός, ἰδού, προάγων;

Herm. | σκόμβροισ θέσμυ κεσ P (σκόμβροι θεσμυκέες ap. Buh.) σκόμβροι σησαμίδες (sive σήσαμα καὶ) Jac. σκόμβροι δρυμματίδες Herm. σκ. σταῖς μύρα καὶ Heck. | σχάδονες P σχαδόνες ap. L. | totum vs. famulo vindicat Herm.

1 νῦν (sic) P: alterum ν scr. A^{ac} et C | προσ αἰσχρόν P | Αἴσχριν (sic) ap. L. Αἴσχραν Br. ἄκραν Salm. 2 μυρόπολιν P μυρόπωλον Reiske, cr. Salm | λαβ' A^{ac} | ἀμφορέας Herm.; ἰρινέας? 3 βάκχων A βακχῶν ('baccharum' et βάκχας) Br. Βάκχων Meineke Βάκχων' Heck.; βακχῶν participium verbi βακχᾶν reposui, cf. μεθύων V 212, 3 | ἐφίλησα Salm. 4 ἑξῆσ.ὧν C ἐξήσων A^{ac} | καινὴ P κοινὴ ap. Lips. κείνη Salm. κλίνη Pierson ‖ 5 num. π add. C 7 πάλιν P, cr. Reiske | αὐτῇ A, litt. ι add. C 8 ἅπαντα A^{ac} 9 μὴκέτι (sic etiam p. 157, 12) A | μέλλε⌊τ⌋ε· τοῦ C μέλλεπε τοῦ A^{ar}, cr. Reiske (πέτευ? V 151, 4) 10 πῇ Reiske | πρίν C πρῖν A | σε πάντα A, articul. τὰ inseruit C 11 δ' ἔτι P δὲ τί apogr. | τί λῃρῶ; parenthetice inserit, μᾶλλον δὲ cum μηδὲν iungit Boiss.: at cf. Od. α 322 12 μὴ δὲν A | ὁλωσ in ὅλωσ mut. C | εἴπησ P | ἀλλότι A ἀλλ'ὅτι C ἄλλοτι ap. Buh. ἀλλ' ἴθι Reiske 13 τὰ πάντα λέγε. καίτοι P σὺ τὰ (τάδε Jac.) πάντα λέγειν· καίτοι Reiske (τὰ ἅπαντα Heck.); τάδ' ἅπαντα λέγ' εἰ.. καίτοι Gr., τά γε πάντα λέγ' αὐτῇ· καὶ Salm.; fort. excidit δεῖ post φείδου (δεῖ πάντα λέγειν?) | τίσ δορκάσ (gravem C) P,

182. ΠΟΣΕΙΔΙΠΠΟΥ. A

Καὶ αὐτὸ κώμου καὶ | καπηλίας μεστόν. C

Τέσσαρες οἱ πίνοντες, ἐρωμένη ἔρχεθ' ἑκάστῳ·
ὀκτὼ γινομένοις ἓν Χίον οὐχ ἱκανόν.
παιδάριον, βαδίσας πρὸς Ἀρίστιον εἰπὲ τὸ πρῶτον
ἡμιδεὲς πέμψαι· χοῦς γὰρ ἔνεισι δύο
ἀσφαλέως· οἶμαι δ' ὅτι καὶ πλέον. ἀλλὰ τρόχαζε· 5
ὥρας γὰρ πέμπτης πάντες ἀθροιζόμεθα.

183. ΜΕΛΕΑΓΡΟΥ. A

Εἰς ἐπίορκον | ἑταίραν. C

Ἔγνων, οὔ μ' ἔλαθες· τί θεούς; οὐ γάρ με λέληθας·
ἔγνων· μηκέτι νῦν ὄμνυε· πάντ' ἔμαθον·
ταῦτ' ἦν, ταῦτ', ἐπίορκε; μόνη σὺ πάλιν, μόνη ὑπνοῖς;
ὦ τόλμης, καὶ νῦν, νῦν ἔτι φησί, μόνη.
οὐχ ὁ περίβλεπτός σε Κλέων —; κἂν μή .. τί δ' ἀπειλῶ; 5
ἔρρε, κακὸν κοίτης θηρίον, ἔρρε τάχος.

τί σε Δορκάς Salm. *τί σέ, Δ.* Jac. p. 156, 14 *σοὶ* A *σὺν* supra adposuit C, malim *φοιτῶ* vel *σπεύσω* | *κ'αὐτὸς* ex *καυτὸς* C | *προάγω* apogr. | praefixit epigrammati Wyttenbach tamquam sermocinationis initium ep. 186 ‖

1 *ποσιδίππου* A 2 *αυτο κωμ̃* et *μεστ̀* C 3 *ἔρχε∗θ'* P *ἔρχεσθ'* A^{ar} 4 *ὀκτῶ* P | *πινομένοις* s. *πιομένοις* FG. Schmidt | *ἐν χιον* A (˟ posuit C pro acc. et in m^{i}) P *ἓν Χίου* Salm. *ἓν Χίον* Reiske *Χῖον ἓν* Br. | *οὐχ' ἱκανόν* ex *οὐχι κανόν* C 5 *εἰπὲ* P: ' C

6 *ἡμιδαὲσ* A Suid. (s. v. *ἡμιδαής*), *ἡμιδεὲσ* S. edd., ap. B.^{m} | *ἔνεισι* P *ἐνεισι* Suid.^{V} (*ἄπεισι* Salm.; noli *ἔλειπε* ci. cl. Xen. Cyr. III 1, 34); fort. (v. 3 sq.): *εἰπὲ τὸ μέτρον ἡ.* sive *εἶπ' ἔτι κρωσσὸν ἡμιδεᾶ π.* | *δύω* Suid.^{V} 7 *δ' ὁτι* P ‖ 11 *οὔ μ' ἔλαθεσ∗∗* C *οὐ μ' ἔλαθ' εστι* A^{ar} | ⌞*τί*⌟*θεούσ* C *∗οθέουσ'* A^{ac} 13 *ταῦτ' ἦν* C *ταύτην* A^{ar} | *μόνη σὺ* C *μόνησ* A^{ac} | *∗πάλι*^{N} C *ὑπαλὶ* A^{ar} | *μόνη σύ, πάλιν* distinguit Dilthey | *σύ, μόνη πάλιν ὑπνοῖς?* 14 *ὦ* Boiss. | *φησὶ* P *φὴς σὺ* Polak 15 *περίβλεπτοσ∗∗ ἔκλαιον* P^{pr} (post *τοσ* erasae vid. litt. *ηι*), cr. Chardon (*σε καλεῖ* Jac. *σ'*; *ἔκλυον* Emperius) | *κἂν* C *κὰν* A | *μή:* ' C eraso accentu pristino | *κἄν*

καίτοι σοι δώσω τερπνὴν χάριν· οἶδ' ὅτι βούλει
κεῖνον ὁρᾶν· αὐτοῦ δέσμιος ὧδε μένε.

184. ΑΣΚΛΗΠΙΑΔΟΥ. A

Ἐπὶ πόρνῃ· | ὀψώνιον. C

Εἰς ἀγορὰν βαδίσας, Δημήτριε, τρεῖς παρ' Ἀμύντου
γλαυκίσκους αἴτει καὶ δέκα φυκίδια
καὶ κυφὰς καρῖδας (ἀριθμήσει δέ σοι αὐτός)
εἴκοσι καὶ τέτορας δεῦρο λαβὼν ἄπιθι.
καὶ παρὰ Θαυβορίου ῥοδίνους ἓξ πρόσλαβ', ἔ⟨πειγε⟩,
καὶ Τρυφέραν ταχέως ἐν παρόδῳ κάλεσον.

185. ΠΟΣΕΙΔΙΠΠΟΥ. A

Εἰς Φιλαινίδα | πόρνην. C

Μή με δόκει πιθανῶς ἀπατᾶν δακρύοισι, Φιλαινί·
οἶδα· φιλεῖς γὰρ ὅλως οὐδένα μεῖζον ἐμοῦ,
τοῦτον ὅσον παρ' ἐμοὶ κέκλισαι χρόνον· εἰ δ' ἕτερός σε
εἶχε, φιλεῖν ἂν ἔφης μεῖζον ἐκεῖνον ἐμοῦ. Ap. 52

μιν Jac. | τι δ' ἀπείδω P τι δ' ἐπείδω ap. Lips. τί δ' ἀπειλῶ anonym. τί δ' ἀπειθῶ Dilthey (περίβλεπτος παρεκέκλιτο καί μιν ἐπεῖδον Salm.); fort. τί δ' ἔτ' αὐδῶ: cf. V 150, 5 p. 157, 16 ἔρρε κακόρρεκτες Herw. | θηρίον P: φώριον?

1 sq. χάριν; οἶδ' ὅ τι βούλει — κεῖνον ὁρᾶν Dilthey 2 ὧδε P 4 ἐπι πόρνη C | ἐπὶ παρασκευῇ ὀψωνίου Reiske 5 παραμύντου A^{ac} 7 κύφασ P | καρίδασ (acutum supra ι A C) P Suid.^{v} s. v. κυφός (ῥυσσὰς καρῖδας Salm.) | ἀρι θμήσ⌊ει⌋ C ἀρί θμηση A^{ar} 9 ante καὶ et in fine vs. signum ⁓ C | παρα θαυ βορίου A παρὰ Θ. C.; fort. παρὰ Θαυμαρίου | ροδινοῦσ A^{ar} | ἓξ πρόσλαβε P: δεσμούς suppl. Toup, πλοχμούς Reiske, πλεκτάς Jac., ἐπείγου Meineke 10 τρυφερὰν P, Τρυφέραν Jac. || 11 sqq. Ap^{m} p. 612, Ap^{v} f. 75^{r} 11 ποσιδίππου A ἄδηλον Ap 12 φιλαινί^{δ} C 13 πιθανῶσ P Ap, πιθανοῖς Reiske (noli σὺ νόθοις tentare) | δάκρυσι P Ap (Ap^{m}) δάκρυσσι Salm. δακρύοισι Bothe 13—14 φιλαινί· οἶδα. interpunxit C, non interp. A Ap 14 φιλοῦσαν ὅλως σ' FG. Schmidt 15 τοῦτό γ' Br., τυτθὸν

186. ΜΕΛΕΑΓΡΟΥ. A

Εἰπὲ Λυκαινίδι, Δορκάς· ᾽Ἴδ᾽ ὡς ἐπίτηκτα φιλοῦσα
ἥλως· οὐ κρύπτει πλαστὸν ἔρωτα χρόνος.᾽ M 69r Ap. 53

187. ΛΕΩΝΙΔΟΥ ⟨ΤΑΡΑΝΤΙΝΟΥ⟩. A. Pl

Εἰς Ἔρωτα | τοξότην. C

Οὐκ ἀδικέω τὸν Ἔρωτα, γλυκύς· μαρτύρομαι αὐτὴν
Κύπριν· βέβλημαι δ᾽ ἐκ δολίου κέραος
καὶ πᾶς τεφροῦμαι· θερμὸν δ᾽ ἐπὶ θερμῷ ἰάλλει
ἄτρακτον, λωφᾷ δ᾽ οὐδ᾽ ὅσον ἰοβολῶν.
χὠ θνητὸς τὸν ἀλιτρὸν ἐσώκει . . θνητὸς ὁ δαίμων·
τίσομαι· ἐγκλήμων δ᾽ ἔσσομ᾽ ἀλεξόμενος; M 69r

Friedemann, *τόσσον* Sternb. | *παρεμοὶ* A^{ac} | *ἐτέροσσε* A *ἔτερόσσε* P^{pc} p. 158, 16 *φιλέειν* Ap^{v} *φιλέην* Ap^{m} | *μείζον κεῖνον* A, cr. C (litt. *ἐ* ante *κεῖνον* inserta), *κεῖνον μείζον* Ap ||

1 sqq. Pl. VII 18; Ap^{m} p. 612, Ap^{v} f. 75r 1 *τοῦ αὐτοῦ* (i. e. Meleagri, post A. P. V 177) Pl, nullo lemmate Ap 2—3 initium fuisse epigr. 181 censet Wyttenbach, cfr. ad 156, 14; epp. 186. 181. 183 inter se cohaerere ut ad eandem Lycaen. spectantia putat Herw. 2 vs. om. Ap (lacunam notat Ap^{v}) | *εἶπε* P Pl, cr. Jac. | *ὡς* C *ὣς*? A^{ar} | *ἐπ⌊ί⌋κτ⌊ητα⌋* C *επηκτὰ* A^{ac} *ἐπίκτητ᾽ α* Pl^{M} *ἐπίκλεπτα* Vat. 1416 (‘e Musuri libro’ Sternb.), *ἐπίτηκτα* Br. *ἐπίκηρα* Lob.; *κίβδηλα*? 3 *ἥλωσ* A^{ac} *ὅλως* Ap || 4 sqq. Pl. VII 19 6 *ἀδικῶ* Pl | *.γλυκύσ.* C *γλυκὺς* A^{ar} Pl^{M} 8 *θερμὸν δ᾽ ἐπι θερμῶ* A *θερμὸν δ᾽ ἐπὶ θερμῶι* C et Suid. (s. v. *ἄτρακτον*), *θερμῷ* (sed corr. ex *θερμόν*) *δ᾽ ἔπι* (cr. ex *δ᾽ ἐπὶ*) *θερμ⌈ὸν⌉* Pl^{M} (Herm.) 9 *λωφᾶ* A *λωφᾶι* C | *οὐδόσον* A^{ac} | *ἰοβολῶν* C *ἰοβόλων* A^{ar} *ἰοβόλ* om. terminatione Pl^{M} *ἰοβόλος* Pl^{E} 10 *χὠ* A *χ᾽ὠ* C Pl^{M} | *ἐσώκει* (‘ et ’ perfecit C)· *θνητὸσ ὁ δαίμων.* P *ἐσώκει. θνητὸς ὁ δαίμων*, Pl^{M} (*ὁ δαίμων*; Pl^{E}) *ἔσω, κεἰ θνητὸς ὁ δ.* Scal., *ἐγώ* (Mein.), *κεἰ δεινὸς ὁ δ.* Herm (Polak), *ἐγώ, κεἰ πτηνὸς ὁ δ.* Emper.; *ἐῴκει* (*ἔοικεν* O. Schneider) *θν ὁ δαίμων* Heck., *ἐσῴκει* s. *ἐσοικεῖ θνητῷ ὁ δ.* Unger (*ἐσοικεῖ θνητὸς* Sternb.), *ἔτρωσε δὲ θνητὸν ὁ δ.* Mähly, *ἔχω καὶ δαίμον᾽ ὁ θνητὸς* Piccolos; malim *δμητὸς* vel *χῆρος* pro *θνητός* 11 *τίσομ᾽*, *ἀνέγκλητος* (Grotius) Jac. (*ἐρικλήδων* Dilthey) | *δ᾽ ἔσομ᾽ ἀλεξάμενος* Pl; signum interrog. posuit Boiss. (et Mein.) ||

188. ΑΣΚΛΗΠΙΑΔΟΥ. A

Νὺξ μακρὴ καὶ χεῖμα, μέσην δ' ἐπὶ Πλειάδα δύνει,
κἀγὼ πὰρ προθύροις νίσσομαι ὑόμενος,
τρωθεὶς τῆς δολίης κείνης πόθῳ· οὐ γὰρ ἔρωτα
Κύπρις, ἀνιηρὸν δ' ἐκ πυρὸς ἧκε βέλος. M 69r

189. ΜΕΛΕΑΓΡΟΥ. A

Εἰς ἔρωτα δριμύτατον. C

Κῦμα τὸ πικρὸν Ἔρωτος ἀκοίμητοί τε πνέοντες
P116 *ζῆλοι καὶ κώμων χειμέριον πέλαγος,*
ποῖ φέρομαι; πάντῃ δὲ φρενῶν οἴακες ἀφεῖνται.
ἦ πάλι τὴν τρυφερὴν Σκύλλαν ἐποψόμεθα; M 73r

190. ΤΟΥ ΑΥΤΟΥ. A

Εἰς ἑταίραν | ἄσωτον· ζηλό|τυπον καὶ μανίας | μεστόν. C

Ἄστρα καὶ ἡ φιλέρωσι καλὸν φαίνουσα Σελήνη
καὶ νὺξ καὶ κώμων σύμπλανον ὀργάνιον,

---

P 126 ἐξέχεεν φιλίην, ὕπνον ἀποσκεδάσας. Ap. 36
ὧδέ μοι οὐδ' αὐτοῖσιν ἐν ὑπναλέοισιν ὀνείροις
ἄφθονός ἐστιν Ἔρως κέρδεος ἡδυγάμου.

243. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Μακρὰ φιλεῖ Γαλάτεια καὶ ἔμψοφα, μαλθακὰ Δημώ,
Δωρὶς ὀδακτάζει. τίς πλέον ἐξερέθει;
οὔατα μὴ κρίνωσι φιλήματα· γευσάμενοι δὲ
τριχθαδίων στομάτων ψῆφον ἐποισόμεθα. Ap. 21
ἐπλάγχθης, κραδίη· τὰ φιλήματα μαλθακὰ Δημοῦς
ἔγνως καὶ δροσερῶν ἡδὺ μέλι στομάτων.

---

et μή σε κύων ὀλέσῃ Jac. ‖ pag. 187, 12 sqq. tria disticha priora exhibet App. Barb.-Vat. (Ap^{m} p. 607, Ap^{v} f. 72^{v}) 12 μακηδονί|ου (η ex ι corr.?) $\overset{\pi}{\upsilon}$ A Ἐρατοσθένους Ap 13 κούρην Ap^{v} κούρα Ap^{m} | ἐπινυκτὸς A^{ac} | ὄνειρον Reiske | ἐνὶ νυκτὸς ὀνείρῳ Sternb. 14 post εἶχον non interpungit P, interp. editores praeter Sternb. | ἐπὶσφίγξασ∗ C ἐπισφίγξασα A^{ar}

1 πείθετο δὲ ci. Sternb. | ξύμπαντα (᾽ C) P ξύμπατα Ap^{m} | οὐκαλέγιζεν P | ἐμοῖο Ap 2 παντοίῃ A Ap^{m} παντοίηι C | ἁπτομένου P (ἁπτομένου A Ap^{m}) 3 post Ἔρως interp. P (et Sternb.) | καὶ νυκταλογήσας Ap^{v} καὶ νυκταλογήσας Ap^{m} κατὰ νύκτα λοχήσας Salm. καὶ νυκτολοχήσας Sternb.; fort καὶ πυκνὰ λ. 4 om. Ap^{m} | ἐξέχεε Ap^{v} Br. | θαλίην? | ἀπὸσκεδάσασ C 5—6 om. Ap 5 ὧ δέ μοι A^{ac} | ἐννυπναλέοισιν A^{ac} 6 ἄφθονος ἐστὶν A^{ac} | noli rep. τέρψιος (aut cum Dorv. χάρματος) pro κέρδεος ‖ 7 sqq. disticha duo priora exhibet App. Barb.-Vat. (Ap^{m} p. 603, Ap^{v} f. 70^{v}) 7 παυλ σιλ A Ἐρατοσθένους Ap 8 γαλατία καὶ A^{ac} γαλάτει᾽ Ap^{m} | ἔμψοφοσ A^{ac} ἔμψοφα C | δημῶ A^{ac} (Ap^{v}) δημὼ C 9 δωρ⌊ὶ⌋σ C δώροισ A^{ar} | δακτίζει A^{ac} (et Sternb.) δακτάζει C δ᾽ ἀττικίζει Ap ὀδακτάζει Brunck ὀδακτίζει Ludwich | ⌊τίσ πλέον⌋ C πλέον τίσ A^{ar} 11 τρηχαλέων P τριγαλέων Ap τρυφαλέων ap. Buh.^{m}, corr. Reiske | ἐποίσόμεθα C ἐποιησάμεθα Ap 12—p. 189, 2 om. Ap. 12 ἐπλάχθησ (ἐπάχθης A^{ac}) P, cr. Heinsius (ἐφλέχθης Ludwich)

μίμν' ἐπὶ τοῖς· ἀδέκαστον ἔχει στέφος. εἰ δέ τις ἄλλῃ τέρπεται, ἐκ Δημοῦς ἡμέας οὐκ ἐρύσει.

244. ΜΑΚΗΔΟΝΊΟΥ ΥΠΑΤΙΚΟΥ̃. A

Κιχλίζεις, χρεμέτισμα γάμου προκέλευθον ἰεῖσα,
ἤσυχά μοι νεύεις· πάντα μάτην ἐρέθεις.
ὤμοσα τὴν δυσέρωτα κόρην, τρισὶν ὤμοσα πέτραις,
μήποτε μειλιχίοις ὄμμασιν εἰσιδέειν.
παῖζε μόνη τὸ φίλημα· μάτην πόππυζε σεαυτῇ 5
χείλεσι γυμνοτάτοις, οὔτινι μισγομένοις. M 71r
αὐτὰρ ἐγὼν ἑτέρην ὁδὸν ἔρχομαι· εἰσὶ γὰρ ἄλλαι
κρέσσονες εὐλέκτρου Κύπριδος ἐργάτιδες.

245. ΠΑΎΛΟΥ ΣΙΛΕΝΤΙΑΡΊΟΥ. A

Μαλθακὰ μὲν Σαπφοῦς τὰ φιλήματα, μαλθακὰ γυίων
πλέγματα χιονέων, μαλθακὰ πάντα μέλη.
ψυχὴ δ' ἐξ ἀδάμαντος ἀπειθέος· ἄχρι γὰρ οἴων
ἔστιν ἔρως στομάτων, τᾶλλα δὲ παρθενίης.

---

1 ⌊μίμν'⌋ C μέν' (s. μην'? μειν'?) A^{ar} | ἐπι A^{ac} | τοῖσδ' Salm. | ἀδίκαστον (ἔχοι?) Sternb. | ἔχεις ap. L., ἔχε Reiske | ἄλλοις Pauw
2 οὐκερύσει A οὐκ' ἐρύσει C ‖ 3 sqq. est ep. apud Pl. VII 63
3 μακηδ×όνί|ου π̄ A τοῦ αὐτοῦ (scil. *Μακεδονίου*, post A. P. V 239) Pl 4 κιχλίζων εἰς Suid.$^{B.E.V}$ (s. v. κιχλ.) | ἰεῖσα ('A C) P S.^{V} 5 ἤσυχα A^{ac} 6 τρισὶν P: ' C ` A | *Κόρην, τρὶς ἐπώμοσ', ἑταίρην* Eichstaedt | ὤμ. *Ποιναῖς* Lennep (cf. Sittl Geb. p. 140 n. 8)
7 εἰσιδέειν P 8 post τὸ φίλημα (` in ras. C) interpung. (more suo in medio v.) C itemque Pl^{M}, τὸ φίλ. πόππυζε iungit Portus (ap. Suid. s. v. πόππυζε) | σεαυτῇ S.^{V} 9 χείλεσιν ὑγροτάτοις Eichst. (σεμνοτάτοις Ast, ipse olim λιχνοτάτοις) | μισγομένοις (σ ante γ clarius expressit C) P μιγνυμένοις Pl 10—11 om. Pl
10 ἑτέρην A^{ac} | ἄλλαι A^{ar} ἄλλαι C ‖ 12 sqq. ep. exhib. Ap^{m} p. 607 sq. Ap^{v} f. 72^{v} sq. 12 παυὶ σιl A Ἐρατοσθένους Ap 13 σ⌊απ⌋φοῦσ C (σαιρ? certe non σαφ scripserat A^{ar}) | μαλθακὰ C μαλθακά A^{ar} | γυίων addidit C 15 ἐξαδάμαντος P | ἀπιθέος Ap^{m}; ἀτειρέος? | οἰῶν A^{ar} 16 ἐστὶν A^{ar} ἔστιν C | ἔρωστομάτων A σ supra prius ω et virgul. ante στ adiecit C | τᾶλλα A τἄλλα C | παρθενίῃ Pauw, παρθενικῆς Dilthey

καὶ τίς ὑποτλαίη; τάχα τις, τάχα τοῦτο ταλάσσας
δίψαν Τανταλέην τλήσεται εὐμαρέως. Ap. 38

246. ΜΑΚΗΔΟΝΊΟΥ ΥΠΑΤΙΚΟΥ̃. A

Παρμενὶς οὐκ ἔργῳ· τὸ μὲν οὔνομα καλὸν ἀκούσας
ὠισάμην· σὺ δέ μοι πικροτέρη θανάτου.
καὶ φεύγεις φιλέοντα, καὶ οὐ φιλέοντα διώκεις,
ὄφρα πάλιν κεῖνον καὶ φιλέοντα φύγῃς. M 71r
κεντρομανὲς δ' ἄγκιστρον ἔφυ στόμα, καί με δακόντα
εὐθὺς ἔχει ῥοδέου χείλεος ἐκκρεμέα.

247. ΠΑΥ̓ΛΟΥ ΣΙΛΕΝΤΙΑΡΊΟΥ. A

Ὦ παλάμη πάντολμε, σὺ τὸν παγχρύσεον ἔτλης
ἀπρὶξ δραξαμένη βόστρυχον αὖ ἐρύσαι;
P 127 ἔτλης; οὐκ ἐμάλαξε τεὸν θράσος αἴλινος αὐδή,
σκύλμα κόμης, αὐχὴν μαλθακὰ κεκλιμένος;
νῦν θαμινοῖς πατάγοισι μάτην τὸ μέτωπον ἀράσσεις·
οὐκέτι γὰρ μαζοῖς σὸν θέναρ ἐμπελάσει.

1—2 pro additiciis vs. habet Salm., epigrammati 49 adnectit J. G. Schneider 1 *καὶ τίσ* C *καί τὶσ* A^{ar} *και τις* Ap^{m} *τίς κεν* Schaefer | *ὑπὸτλα⌊ί⌋η* P: gravem et *ι* C (*ὑποτλάλη* Ap^{m}) | *⌊τάχα. τίσ⌋* C *τοῦτο τάχα* sive *τόσσα ἄχα* A^{ar} | *ταλάσσαν* A^{ac} *ταλάσας* Ap^{v} 2 *δίψοσ* Ap (cfr. Nicet. Eugen. VI 628) | *τὰν ταλέην* P *τανταλέην* Ap ‖ 3sqq. ap. Pl. VII 64 3 *μακη* $^{δ}_{π}$ *ν̃* A *τοῦ αὐτοῦ* (sc. *Μακεδονίου*, post A. P. V 244) Pl 4 *οὐκέργω* P | *οὔνομα* (′ C) P 5 *δ' ἐμοὶ* Br. 6 *οὐ φιλέοντα* A^{ac} 7 *φύγῃς* Pl^{M} 8—9 om. Pl, vs. alienos ab hoc carmine iudicat Jac. 8 *κεντροπαγὲσ* Br. 9 *εὐθὺσ* A, fort. *εἶδαρ* (cfr. A. P. VII 702, 3) | *χείλουσ ἐκκρέμεθα* (*έ* C et A^{ac}) P, em. Br. ‖ 10 *παυὶ σιὶ* A 12 *βοστυχον* P^{ac}: *ρ* supra *τ* A, acc. add. C | *αὐερύσαι* P^{pc} *αὖ ἐρύσαι* (?) A^{ar} Suid. (s. his voc.) | signum interrogandi posuit C 13 *ἔτλησ.* (interp. C) P | *ουκεμάλαξε* A *οὐκ ἐμάλ.* C Suid. (s. v. *αἴλινος*) | *αἴλινοσ* P: *λ* ex *γ* cr. A | *αὐδή*; (; C, A) P 14 *σκῦλμα* A^{ac} | signum interrog. add. C 15 *θαμινοὶ* A^{ac} *θαμινοῖ* C *θαμινοῖς* ap. L. Suid. (s. v. *ἀρασσόμενα*) | $^{β}_{τὸ}$

μή, λίτομαι, δέσποινα, τόσην μὴ λάμβανε ποινήν·
μᾶλλον ἐγὼ τλαίην φάσγανον ἀσπασίως.

248. ΕἸΡΗΝΑΊΟΥ ῾ΡΕΦΕΡΕΝΔΑΡΊΟΥ. A

Ὦ σοβαρὴ ῾Ροδόπη, Παφίης εἴξασα βελέμνοις
καὶ τὸν ὑπερφίαλον κόμπον ἀπωσαμένη,
ἀγκὰς ἑλοῦσά μ' ἔχεις παρὰ σὸν λέχος· ἐν δ' ἄρα δεσμοῖς
κεῖμαι, ἐλευθερίης οὐκ ἐπιδευόμενος.
οὕτω γὰρ ψυχή τε καὶ ἔκχυτα σώματα φωτῶν
συμφέρεται φιλίης ῥεύμασι μιγνύμενα.

249. ΠΑΥ̓ΛΟΥ ΣΙΛΕΝΤΙΑΡΊΟΥ. A

῾Ηδύ, φίλοι, μείδημα τὸ Λαΐδος· ἡδὺ καὶ αὐτῶν
ἠπιοδινήτων δάκρυ χέει βλεφάρων.
χθιζά μοι ἀπροφάσιστον ἐπέστενεν, ἐγκλιδὸν ὤμῳ
ἡμετέρῳ κεφαλὴν δηρὸν ἐρεισαμένη·
μυρομένην δ' ἐφίλησα· τὰ δ' ὡς δροσερῆς ἀπὸ πηγῆς
δάκρυα μιγνυμένων πῖπτε κατὰ στομάτων.

μέτ̃ωπον $^{\alpha *}$μάτην P: litt. β et α supra add. C (erasis isdem quos A scripserat numeris); signo ÷ remittit C ad m^{e} ubi scripsit: γρ. μάτην τὸ μέτωπον ἀράσσεισ | τὸ μέτωπον Suid.$^{A.E.V}$ τὸ πρόσωπον S. edd. pag. 190, 16 οὐκέτι C | ἐμπελάσει (πε ex πο cr.) P

1 μη λίτ. S.^{V} s. ποινή | τοίην Suid. (τοίσω S.^{E}) ‖ 3 ειρ^{N}η ρεφεν$^{\Delta}$ A 6 ἑλοῦσα A^{ac} | παρα A παρὰ C κατὰ Herw. | malim παρὰ σὸν ῥέθος s. δέμας 8—9 damnat Salm. 8 οὐτω γὰρ A^{ac} (οὕτως ἄρ Br.) | ἔκλυτα Reiske | (σώματ' ἐρώντων Jac.; cf. Nic. Eug. 7, 236) 9 μιγνύμενοι apogr. ‖ 10 παῦ$^{\lambda}$ σιl A 11 φίλ⌊οι⌋.^{μείδη}μα P: οι. et .μείδη (i. e. φίλοι μείδημα) C φίλημα A^{ar} φίλης μείδ. ap. B.^{m}; πέφυκε (s. πέλει τὸ) φίλημα? cf. v. 5 | καὶ αὐτῶν P κατ' αὖ τῶν Meineke 12 ἠπιοδινήτων: spir. C | δακρυχέει A δάκρυ χέει C, δάκρυ χυθὲν Ludw.; olim ego δάκρυ ῥέει: cf. Il. P 438 13 ἐγκλινοδώμωι P, cr. Jac. 14 post v. 3 per errorem intulit A ep. sequentis vs. 3; sed deletus est vs. insiticius et punctis supra litt. positis et obelo ϱ versui praefixo 15 μ⌊υ⌋ρομένην C μοιρ. A^{ar} | δὲ φίλησα *** C δὲ φιλήσασα A^{ar}, δ' ἐφίλησα editt. | ἀπο A^{ac} 16 noli ci. πηγνυμένων | πίπτε P

εἶπε δ' ἀνειρομένῳ· 'Τίνος εἵνεκα δάκρυα λείβεις;'
'Δείδια μή με λίπῃς· ἐστὲ γὰρ ὀρκαπάται.'

250. ΕΙΡΗΝΑΙΟΥ ῾ΡΕΦΕΡΕΝΔΑΡΙΟΥ. A

Ομματα δινεύεις, κρυφίων ἰνδάλματα πυρσῶν,
χείλεα δ' ἀκροβαφῇ λοξὰ παρεκτανύεις
καὶ πολὺ κιχλίζουσα σοβεῖς εὐβόστρυχον αἴγλην,
ἐκχυμένας δ' ὁρόω τὰς σοβαρὰς παλάμας.
ἀλλ' οὐ σῆς κραδίης ὑψαύχενος ὤκλασεν ὄγκος·
οὕπω ἐθηλύνθης, οὐδὲ μαραινομένη. M 72r

251. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

῾Ρίψωμεν, χαρίεσσα, τὰ φάρεα, γυμνὰ δὲ γυμνοῖς
ἐμπελάσει γυίοις γυῖα περιπλοκάδην·
μηδὲν ἔοι τὸ μεταξύ· Σεμιράμιδος γὰρ ἐκεῖνο
τεῖχος ἐμοὶ δοκέει λεπτὸν ὕφασμα σέθεν.
στήθεα δ' ἐξεύχθω τά τε χείλεα· τἆλλα δὲ σιγῇ
κρυπτέον· ἐχθαίρω τὴν ἀθυροστομίην. Ap. 37

---

1 εἶπε P | εἵνεκα A^{ac} οὕνεκα apogr. | λείβει ap. $B.^{m}$ 2 ἐστε et ὀρκαπάται A^{ac} ‖ 3sqq. ep. est ap. Pl. VII 81 3 εἰρηναίου ρεφεν̣δ A εἰρηναίου ῥαιφε|ρενδαρίου Pl^{M} Ἀρηναίου ῾Ραιφενδαρίου Pl^{E} (sed ῾Ραιφερενδαρίου Pl^{s}) 5 παῤἐκτανύεισ ex παρεκτ. C 6 πολλὰ Pl^{I} $Suid^{V.E}$ (s. v. σοβεῖ) | κιχάζουσα Suid. | σοβεῖ Suid. edd. vett. σοβεῖσ Suid.$^{A.V}$ | ἐυβόστυχον (ρ add. A) P_2 ἐυβόστρυχον P_1 (v. ad p. 191, 14) ἐς βόστρυχον Suid. 7 σοβ. πλοκάδας? 8 ἀλλοὐ A | ·:· ⌊ὄγ⌋κ⌊ο⌋σ C ἀγκὰσ A^{ar}; signum ·:· repet. C m^{e} add. γρ. ὀγκάσ· 9 οὔπο P | οὐδὲ (᾽ C) P ‖ 10sqq. Ap^{m} p. 607 Ap^{V} f. 72v 10 παυ̣ι σι̣ι A παύλου Ap | num. signa CN adpinxit C 12 ἐνπελάσει Ap^{m} ἐμπελάσαι Ruhnken (Herw.) ἐμπελάσῃ Reiske | γυίοισ om. Ap^{V} | χυῖα A^{ar} γυῖα C 13 μὴδὲν Ap^{m} | τὸ om. Ap^{V} 15 δὲ ζεύχθω Ap^{m} | τὰ (Ap) χείλεα τ' ἄλλα δε A τὰ χείλεάτ'. ἄλλα δὲ C, cr. ap. G. R.^{m} | σιγῆ Ap^{m} 16 κρυπτέω. C κρυπτέω· A^{ar} κρυπτεο Ap^{m} κρύπτεο Ap^{V}, cr. Jac. (σιγὴ κρυπτέτω Salm.) | ἀνθυροστομίην Ap^{m} ‖

P 128 252. ΕἸΡΗΝΑΙΟΥ ῾ΡΕΦΕΡΕΝΔΑΡΊΟΥ. A

Τίπτε πέδον, Χρύσιλλα, κάτω νεύουσα δοκεύεις,
καὶ ξώνην παλάμαις οἷά περ ἀκρολυτεῖς;
Αἰδὼς νόσφι πέλει τῆς Κύπριδος· εἰ δ' ἄρα σιγᾷς,
νεύματι τὴν Παφίην δεῖξον ὑπερχομένη.

253. ΠΑΎΛΟΥ ΣΙΛΕΝΤΙΑΡΊΟΥ. A

Ὤμοσα μιμνάξειν σέο τηλόθεν, ἀργέτι κούρη,
ἄχρι δυωδεκάτης, ὦ πόποι, ἠριπόλης·
οὐδ' ἔτλην ὁ τάλας· τὸ γὰρ αὔριον ἄμμι φαάνθη
τηλοτέρω μήνης, ναὶ μὰ σέ, δωδεκάτης.
ἀλλὰ θεοὺς ἱκέτευε, φίλη, μὴ ταῦτα χαράξαι
ὅρκια ποιναίης νῶτον ὑπὲρ σελίδος·
θέλγε δὲ σαῖς χαρίτεσσιν ἐμὴν φρένα· μηδέ με μάστιξ,
πότνα, κατασμύξῃ καὶ σέο καὶ μακάρων. M 70r

254. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

῾Αφη|γηματικόν. A

Εἶδον ἐγὼ ποθέοντας· ὑπ' ἀτλήτοιο δὲ λύσσης
δηρὸν ἐν ἀλλήλοις χείλεα πηξάμενοι,

---

1 ρεφενδαρίου P | ⁄· δ ω̃ C m^{e} (cfr. ad p. 164, 3) 2 *πέδῳ* Bothe 3 *οἷά* A *οἷά* C 4 *πέλοι* ap. L.^{m}: v. Musae. 98 5 ⌊*νεύ*⌋*ματι* P: ⌊*νευ*⌋ C; cf. Nic. Eug. III 172 | ⌊*τ*⌋*ὴν* C *σὴν* A^{ar} | *ὑπερχομένη* A *ὑπέρχ.* C ‖ 6 sqq. ap. Pl. VII 43 6 *παύλου σιλεν̄* A *τοῦ αὐτοῦ* (sc. P. Sil., post A. P. V 238) Pl 7 *τηλό*⌊*θεν*⌋ P: ⌊*θεν*⌋ C | *ἀργέτη* P, cr. Pl | *κούρη*^{α}∗ P (α C, *κούρηι* A^{ar}) 8 *ἠρι πόλισ* A^{ac} *ἠῷι πόλησ* C qui add. m^{e}: ẋ *τ*⌈*η*⌉*σ ημέρασ* ẋ (hoc signum in erasa claus.) *τ*⌈*ησ*⌉ *περὶ τὸν ὁρθρον πολόυσ*⌈*ησ*⌉ 10 *τηλοτέρωι* P | *μὰ σὲ* C Pl (*μὰ δὲ* Pl^{i}) *μα σὲ* A 11 *φίλη* P: ′ C 12 *ὑπὲρ* Pl C *ὑπερ* A *ὕπερ* Dübner 13 *δὲ σαῖσ* CPl *δ' ἑαῖσ* s. *δὲ αἷσ* A^{ac} | *μηδέ με* Pl^{s} *μὴδέ με* C Pl^{M} *μηδεμε* A^{ac} (*μηδ' ἐμὲ* Br.) 14 *κατασμ*⌊*ύ*⌋*ξηι* P: *υ* in eraso α C (*κατασμήξῃ* Lobeck) | *σεῖο* P ‖ 15sqq. exhib. Ap^{m} p. 604 Ap^{v} 71r 15 *παύλου* Ap 16 *πάσαν γέμον.*| *ἔρωτοσ. ἀκοσμίαν* add. C, qui idem ad vs. 11 adnotavit: *τοιαῦτα τὰ τῆσ ἐρωτικῆσ παλαίστρασ, μηχανουργήματα* 17 *ὑπατλήτοιο* A^{ac} |

οὐ κόρον εἶχον ἔρωτος ἀφειδέος· ἱέμενοι δέ,
εἰ θέμις, ἀλλήλων δύμεναι εἰς κραδίην,
ἀμφασίης ὅσον ὅσσον ὑπεπρήυνον ἀνάγκην
ἀλλήλων μαλακοῖς φάρεσιν ἑσσάμενοι.
καί ῥ' ὁ μὲν ἦν Ἀχιλῆι πανείκελος, οἷος ἐκεῖνος
τῶν Λυκομηδείων ἔνδον ἔην θαλάμων·
κούρη δ' ἀργυφέης ἐπιγουνίδος ἄχρι χιτῶνα
ζωσαμένη Φοίβης εἶδος ἀπεπλάσατο.
καὶ πάλιν ἠρήρειστο τὰ χείλεα, γυιοβόρον γὰρ
εἶχον ἀλωφήτου λιμὸν ἐρωμανίης.
ῥεῖά τις ἡμερίδος στελέχη δύο σύμπλοκα λύσει,
στρεπτά, πολυχρονίῳ πλέγματι συμφυέα,
ἢ κείνους φιλέοντας ὑπ' ἀντιπόροισί τ' ἀγοστοῖς
ὑγρὰ περιπλέγδην ἅψεα δησαμένους.
τρὶς μάκαρ, ὃς τοίοισι, φίλη, δεσμοῖσιν ἑλίχθη,
τρὶς μάκαρ· ἀλλ' ἡμεῖς ἄνδιχα καιόμεθα. Ap. 24

255. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις
ἕσπερος, ὑβριστὴν μῦθον ἐπευξαμένη.

ἀπλήστοιο Jac. ἀπλήτοιο Sternb. frustra | λύσσησ ex λύσασ cr Ap^{m} pag. 193, 18 ἐπ' ap. L. | πηξαμένους ap. B.^{m}
1 ἀφειδέοσ Ap ἀφηδέοσ A^{ac} ἀφ' ἡδέοσ C | ἱέμενοι A^{ac} 2 εἰς Ap ἐσ P 3 ἀφασίης Ap ἀμφασίης δ' Heinsius | ὅσσον ὅσσον Ap^{m} 4 μαλα⌊κ⌋οῖσ P: κ et circ. C | ἐσσάμενοι A^{ac} εἰσάμενοι Ap 5—10 sex vs. om. Ap 5 ἐκεινοσ A^{ac} 7 ἀργυρέης N. Heinsius 9 ἠρήριστο A^{ac} primo in ἠρείριστο dein in ἠρήρειστο mut. C | γυιοβόρων P γυιοβόρον ap. L.^{m} 11 ῥεῖα τίσ P (' C) ῥεῖ κτῆσ Ap^{m}; ῥήιον ἠμ. — λύσεις Herw. 12 πολυχρονίω Ap^{m} 13 ἢ: εἰ? | κεινουσ A^{ac} | ὑπαντιπόροισι τ' A^{ac} ὑπ' ἀντιπόροισιν ap. Buh. ὑπ' ἀντιρόποισιν Salm. 14 περὶ πλέγδην C Ap^{m} | ἅψεα A^{ac} ὗψεα Ap 15 τρισμάκαρ P (sicut l. 16) Ap^{m} | φιλη δἔσμοῖσιν A^{ar} φιληδἔσμοισιν C (qui signum dubitandi ·/· m^{e} repet.) | φίλοις Salm. φίλη Pauw (τοίαισιν ἁλυκτοη πέδῃσιν?) | ἐλίχθη A^{ac} Ap ἑλιχθῇ Heinsius (δεσμοῖς) ἐλυγίχθ- Jac. 16 vs. om. Ap ‖ 17 sqq. ep. est ap. Pl. VII 44 18 ἀμφέτί-

'Ὕβρις ἔρωτας ἔλυσε.' μάτην ὅδε μῦθος ἀλᾶται·
129 ὕβρις ἐμὴν ἐρέθει μᾶλλον ἐρωμανίην.
ὤμοσα γὰρ λυκάβαντα μένειν ἀπάνευθεν ἐκείνης· 5
ὦ πόποι· ἀλλ' ἱκέτης πρώιος εὐθὺς ἔβην. M 70r

256. ΠΑΛΛΑΔΑ. A. Pl

Νῦν καταγιγνώσκω καὶ τοῦ Διὸς ὡς ἀνεράστου,
μὴ μεταβαλλομένου τῆς σοβαρᾶς ἕνεκα —
οὔτε γὰρ Εὐρώπης, οὐ τῆς Δανάης περὶ κάλλος
οὔθ' ἁπαλῆς Λήδης ἐστ' ἀπολειπομένη —
εἰ μὴ τὰς πόρνας παραπέμπεται· οἶδα γὰρ αὐτὸν 5
τῶν βασιλευουσῶν παρθενικῶν φθορέα. M 72r

257. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Πρόκριτός ἐστι, Φίλιννα, τεὴ ῥυτὶς ἢ ὀπὸς ἥβης
πάσης· ἱμείρω δ' ἀμφὶς ἔχειν παλάμαις
μᾶλλον ἐγὼ σέο μῆλα καρηβαρέοντα κορύμβοις
ἢ μαζὸν νεαρῆς ὄρθιον ἡλικίης.

ναξεν P ἀμφιτίν. Zonar.A s. v. δικλίς | γαλάξια P: ε et acc. C, γαλατία Aar pag. 194, 19 ὑβριστὴν: ' C | ἐπ' ἐυξαμένη P
1 ὁ δε A ὁ δὲ C ὅδε Pl | ἀλᾶται in ἀλ. mut. C 2 ἐρωμανί[ην] C -ίαν? Aar 3 γὰρ P PlM καὶ Pls | μενεῖν? at v. 253, 1
4 ἀλλικέτης Aac | ἔην Aac ἔβην rest. ipse A ‖ 5 sqq. Pl. VII 82
6 κατὰγιγνώσκω P: ' C 7 σοβαρᾶς P Pl (sed σοβαρῆς Pl[I]) | ἕνεκα P itemque Pl[M] ἕνεκεν Pl[E] (ἕνεκε Pl[I]) 8 οὐ τῆς P Pl sed οὔτε Pl[I] (οὔ τοι Jac. οὔτ' οὖν Herm.) | fort. οὔτ' Ἀλκμήνης vel οὔτ' Ἰναχίης (at v. Nic. Eug. VI 632) | περικαλλοῦς Br. περὶ κάλλους Jac. 9 οὔτ' ἀπαλῆς A (f. ἀταλῆς) in οὔθ' ἁπ. mut. C | ἐστ' P ἔστ' Pl | ἀπολειπομένη (' C) P 10 αὐτ[ὸ]ν C αὐτῶν Aar ‖ 12 sqq. epigr. exhib. Apm p. 604 Apv f. 71r; Pl (VII 45) om. duo disticha priora 12 παυὶ σιὶ A τοῦ αὐτοῦ (post A. P. V 254) Ap (post A. P. V 255) Pl 13 φίλινα Apm | τεη Apm τε, ἢ Suid. codd. det. τεὴ S.A.C (s. v. ὀπός) | ῥυτίσ P (κύπρις Salm.) | ἢ ὀπὸσ (ὀ corr. ex ὁ) P ἤνοπος Heck. (cfr. Nicet. Eugen. VI 634) | ἥβησ (' C ' A C) P ἥβης· Apm 14 ἱμείρων Aac ἱμείρων C ἱμείρω Ap Salm. | δαμφὶσ Apm | δ' ἀμφαφάαν? cf. Nonn. D. 48, 350
15 κορύμβοις P Apv κορύμβας Apm κορύμβους Suid. (s. κόρυμβοι, versus om. S.v) 16 μαστόν Suid.

σὸν γὰρ ἔτι φθινόπωρον ὑπέρτερον εἴαρος ἄλλης,
χεῖμα σὸν ἀλλοτρίου θερμότερον θέρεος. Ap. 25. M 70r

258. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Ὄμματά σευ βαρύθουσι πόθου πνείοντα, Χαρικλοῖ,
οἷά περ ἐκ λέκτρων ἄρτι διεγρομένης·
ἔσκυλται δὲ κόμη, ῥοδέης δ' ἀμάρυγμα παρειῆς
ὤχρος ἔχει λευκός, καὶ δέμας ἐκλέλυται.
κεἰ μὲν παννυχίῃσιν ὁμιλήσασα παλαίστραις
ταῦτα φέρεις, ὅλβου παντὸς ὑπερπέταται
ὅς σε περιπλέγδην ἔχε πήχεσιν· εἰ δέ σε τήκει
θερμὸς ἔρως, εἴης εἰς ἐμὲ τηκομένη. Ap. 20

259. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A. Pl

Κεκρύφαλοι σφίγγουσι τεὴν τρίχα; τήκομαι οἴστρῳ,
Ῥείης πυργοφόρου δείκελον εἰσορόων.
ἀσκεπές ἐστι κάρηνον; ἐγὼ ξανθίσμασι χαίτης
ἔκχυτον ἐκ στέρνων ἐξεσόβησα νόον.

---

1 σὸν γὰρ P Ap ἦ σὸν Pl | ἔτει φινόπωρον Ap^{m} | ἄλλου Nic. Eug. VI 637 1—2 ὑπέρθερον θέρεος om. vocibus mediis Ap^{v} || 3 sqq. Ap^{m} p. 603 Ap^{v} f. 70^{v} 3 παύλου Ap 4 ὄμματα σεῦ P Ap^{m} et p. c. Ap^{v}, cr. Heins. (ὄμματά σοι Ap^{v} a. c. et ap. L.) | πόθον ap. L. | χαρικλοί A χαρικλοῖ C 5 οἷά A^{ac} οἷα Ap^{m} 6 ἔσσυται Ap^{v} ἔσσεται Ap^{m} | δ' ἀμαρύγματα A^{ar} Ap^{v} δαμαρύγματα Ap^{m} δ' ἀμάρυγματα C qui correcto acc. litteras τα delere om. ἀμάρυγμα Heinsius 8 κ' εἰ (' C) P | μὲν om. Ap^{v} | παννυχίῃσι^{N} P (ν C) παννυχίοισιν Heins. 9 φέρει Ap, φορεῖς? cf. V 174, 6 | ὅλβου (C ὁλβ. A^{ac}) παντὸς P Ap ὅλβῳ πάντας Salm. | ὑ̣πέρ πέτ$^{α}_{ε}$ται P (accentum et α supra ε C ὑπὲρπετεται A^{ar}) ὑπερπέπαται Ap^{m} ὑπερπέτεται Ap^{v} ὑπερπέταται Suid. (s. v. ὅλβος) 10 ὅσ σε A^{ac} Ap Suid. ὃς σὲ C^{pc} | περὶπλέγδην (' C) P | ἔχει Ap | πήχεσι Suid. (πήχεσιν S.^{v}) | δὲ σε Ap^{m} || 12 sqq. ap. Pl. VII 46 12 nullo l. Pl^{I} 13 κεκρύφα∗λοι P κέ κρύφαλλοι A^{ar} (κεκρύφαλον Suid.^{E} s. v. κεκρύφ.) | τρίχα P S.^{v} τρίχα; Pl^{M} 14 εἰσόρόων P εἰσορόων s. v. πυργοφόρος Suid. (deest vs. in S.^{v}), εἰσοράων Suid.

ἀργενναῖς ὀθόνῃσι κατήορα βόστρυχα κεύθεις;
οὐδὲν ἐλαφροτέρη φλὸξ κατέχει κραδίην.
μορφὴν τριχθαδίην Χαρίτων τριὰς ἀμφιπολεύει·
πᾶσα δέ μοι μορφὴ πῦρ ἴδιον προχέει. M 70v

260. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Εἰμὶ μὲν οὐ φιλόοινος· ὅταν δ' ἐθέλῃς με μεθύσσαι,
πρῶτα σὺ γευομένη πρόσφερε, καὶ δέχομαι. M 71r
εἰ γὰρ ἐπιψαύσεις τοῖς χείλεσιν, οὐκέτι νήφειν
εὐμαρὲς οὐδὲ φυγεῖν τὸν γλυκὺν οἰνοχόον·
πορθμεύει γὰρ ἔμοιγε κύλιξ παρὰ σοῦ τὸ φίλημα
καί μοι ἀπαγγέλλει τὴν χάριν ἣν ἔλαβεν. M 71v

261. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Φεῦ φεῦ, καὶ τὸ λάλημα τὸ μείλιχον ὁ φθόνος εἴργει
βλέμμα τε λαθριδίως φθεγγομένων βλεφάρων·

---

s. δείκελον pag. 196, 15 ἀσκεπέσ P: ` A ´ C | ξανθίσμτ' Pl^{M} ξανθίσματι Pl^{E} 16 νόσον Suid.^{E} s. v. ἐξεσόβησα (malim ἐμοὶ ξανθίσματα — ἐξεσόβησε)

1 ἀργεναῖς Pl^{I} | κατήορα P Pl$^{M.I}$ κατῄορα Pl$^{a.s}$ 2 ἀφαυροτέρη? cf. 269, 6 3 ἀμφιπολεύ⌊ει⌋ C -λεύοι? A^{ar} 4 δέμοι P δέ μοι Pl δ' ἐμοὶ Br. | προ∗χέει P προσχέει A^{ar} ‖ 5 sqq. ep. est ap. Pl. VII 67 5 σχολὴ A | τοῦ αὐτοῦ (sc. Agathiae, post A. P. V 240) Pl 6 οὕτι φίλοινος Bothe | ὅτ' ἂν (` C) P | ἐθέλῃσ P (ι add. C) ἐθέλης Pl^{M} | ⌊με⌋μεθῦσαι P (⌊με⌋ in eraso signo ÷ adiecit C, qui insuper ÷ με in m^{e} exaravit), με μεθύσσαι Pl^{M} με μεθύσαι Pl^{E} 7 πῶμα σὺ? cfr. Eur. Ion. 1212 πῶμα — ἐδεξάμην | γευσαμένη FG. Schmidt 8 ἐπὶψαύσεις ex επιψ. C | οὐκέτι A Pl^{M} οὐκ ἔτι C 9 οὐ δε P 10 πορθμ⌊εύ⌋ει C, πορθμοσ (s. -μεσ) εἰ A^{ar}; fort. πορθμεύσει | ἔμοιγε Pl^{M}C ἐμοίγε A^{ar} | παρασοῦ A^{ac} 11 καὶ μοι Pl^{M} | ἀπαγγέλλει C ἀπαγγέλει A^{ac}; fort. ἀπαγγελέει | ἦν A^{ac} ‖ 12 sqq. ep. est ap. Pl. VII 47 12 παυλ σιλ A τοῦ αὐτοῦ (sc. Pauli, post A. P. V 259) Pl (lemma om. Pl^{I}) | num. ξ add. m^{e} C 13 ab initio vs. litt. α adpinxit C (v. ad l. 14—198, 1) | ⌊εἴργ⌋ει C ἔργει? A^{ar} 14 litt. β m^{1} add. C | β⌊λ⌋έμμα C duplici λ A^{ar} | τὲ Pl^{M}

ἱσταμένης δ' ἄγχιστα τεθήπαμεν ὄμμα γεραιῆς,
οἷα πολύγληνον βουκόλον Ἰναχίης.
Ἵστασο καὶ σκοπίαζε, μάτην δὲ σὸν ἦτορ ἀμύσσου·
οὐ γὰρ ἐπὶ ψυχῆς ὄμμα τεὸν τανύσεις. M 70v

262. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Μήποτε, λύχνε, μύκητα φέροις, μηδ' ὄμβρον ἐγείροις,
μὴ τὸν ἐμὸν παύσῃς νυμφίον ἐρχόμενον.
αἰεὶ σὺ φθονέεις τῇ Κύπριδι· καὶ γὰρ ὅθ' Ἡρὼ
ἥρμοσε Λειάνδρῳ . . . θυμέ, τὸ λοιπὸν ἔα.
Ἡφαίστου τελέθεις, καὶ πείθομαι, ὅττι χαλέπτων
Κύπριδα θωπεύεις δεσποτικὴν ὀδύνην. M 71v

263. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. AC

Βόστρυχον ὠμογέροντα τί μέμφεαι ὄμματά θ' ὑγρὰ
δάκρυσιν; ἡμετέρων παίγνια ταῦτα πόθων,

---

pag. 197, 14 — 198, 1 post alterum ep. 261 vs. scripsit A epigr. 262 versum tertium, deinde vacuam reliquit lineam, tamquam pentameter distichi deesset; C versum errore ab A inlatum induxit (obelumque suum ab initio et in fine vs. adpinxit), in vacua quam librarius reliquerat linea scripsit haec: ⁄· *οὐδὲν λείπει πλ⌜ην⌝ οτι ο γράφων ἦν ανόητος* ⁄·; praeterea C signum $^{\sigma}Z$ (*συζευκτέος* interpret. Paulssen) in fine vs. secundi et ab initio vs. tertii addidit itemque litt. *α. β. γ* ad tres priores epigr. vss. adscripsit, ut ordinem versuum indicaret 1 *ἱστάμενοι* P Pl (*τῆς μ̄ρ̄σ ἢ τροφοῦ*:) *γρ. ἱσταμένης* sch.^{B}; *ἑσπόμενον* (v. Musae. 72)? at cf. Nonn. D. 42, 349 2 *οἷα* A^{ac} | *πολύγληνον* A | *οἷ⌜ον⌝ ἀπολύγλ.* s. *πολύγληνον* S.v | *βουκόλον* ex *βουκόλου* (quod ci. Scaliger) corr. Pl^{M} | *Ἰναχίος* S.v 3 *δὲ* (` AC) *σὸν* P Suid. Pl, sed *δέ σοι* Pl^{I}; fort. *δ' ἔσω*: cfr. Theocr. XIII 71 4 *ψυχὴν* Pl ‖ 5 sqq. Pl. VII 68 5 *σχολ* A | *τοῦ αὐτοῦ* (sc. Agathiae, post A. P. V 260) Pl 6 *τρέφοις*? | *μὴ δ'* P Pl^{M} s. v. *μύκητα* S.v | *ἐγείρῃς* A *οι* supra *η* C, *ἐγείροις* Pl Suid. 7 *παύσῃς* Pl^{M} | *νύμφιον* A^{ar} 8 vs. bis scripsit A, v. ad 197, 14 — 198, 1 | *αἰεῖ* A_2 | *τῇ* ~~A_2~~ *τῆι* A_1 C_2 | *ὁτ' ἠρώ* A_1; *ὁτ' ἠρὼ* A_2 *ὅτ' ἠρὼ* C_2 atque Pl^{M} Pl^{E} sed *ὅθ' Ἡρὼ* Pl^{I} 9 *ἥρμοσε* A^{ac} *ἤρμοσε* ex *ερμ.* cr. Pl^{M} (*ἤρμοσε* 'iunxit, scil. Heronem Venus', non 'se iunxit Hero'; cf. Nic. E. IX 290) | *θυμὲ* P Pl *δεσμά* Ludwich (si opus esset correctura, mallem *θεσμά*) | *ἔαι* P 10 *ναὶ π.* Br. | *ὅ⌊ττ⌋ι* C *ὁτι* A^{ar} *ὅτι* s. v. *θωπεύει* Suid.$^{v.A}$ 11 *Κύπριδι* Pl ‖

φροντίδες ἀπρήκτοιο πόθου τάδε, ταῦτα βελέμνων
σύμβολα καὶ δολιχῆς ἔργα νυχεγρεσίης.
καὶ γάρ που λαγόνεσσι ῥυτὶς παναώριος ἤδη,
καὶ λαγαρὸν δειρῇ δέρμα περικρέμαται.
ὁππόσον ἠβάσκει φλογὸς ἄνθεα, τόσσον ἐμεῖο
ἄψεα γηράσκει φροντίδι γυιοβόρῳ.
ἀλλὰ κατοικτείρασα δίδου χάριν· αὐτίκα γάρ μοι
χρὼς ἀναθηλήσει κρατὶ μελαινομένῳ.

264. ΚΟΜΗΤΑ̃ ΧΑΡΤΟΥΛΑΡΊΟΥ. A

Εἰς ἑαυτὸν ἐκδε|χόμενον κόρην. A

Ὄμματα Φυλλὶς ἔπεμπε κατὰ πλόον· ὅρκος ἀλήτης
πλάζετο, Δημοφόων δ' ἦεν ἄπιστος ἀνήρ.
νῦν δέ, φίλη, πιστὸς μὲν ἐγὼ παρὰ θῖνα θαλάσσης
Δημοφόων· σὺ δὲ πῶς, Φυλλίς, ἄπιστος ἔφυς;

265. ΠΑΥ̓ΛΟΥ ΣΙΛΕΝΤΙΑΡΊΟΥ. C

Ἀνέρα λυσσητῆρι κυνὸς βεβολημένον ἰῷ
P 131 ὕδασι θηρείην εἰκόνα φασὶ βλέπειν.
λυσσώων τάχα πικρὸν Ἔρως ἐνέπηξεν ὀδόντα
εἰς ἐμὲ καὶ μανίαις θυμὸν ἐλήισατο.

---

pag. 198, 12 *παυl σιl* A *τιαρίου* add. C 13 *ἡμιγέροντα* Salm. | *ὄμματα θ'* P 14 ⌊*ὑ*⌋*μετέρων* C *ἡμετέρων* A^{ar}; fort. *ἠλεμάτων* vel *ὑμετέρῳ π. τ. κόρῳ*

1 *πόνου* Jac. 3 *λαγόνεσσαι* s. v. *παναώριος* Suid.^{v}, noli ci. *γενύεσσι* | *ρυτίς* A^{ar} | *ταναώριος* apogr. 4 *λαγαρ*⌊*ὸ*⌋*ν* C *λαγαρῶν* A^{ar}; illud Suid. s. v. *λαγαρόν* | *δειρῇ* S.^{v} | *περὶκρέμαται* (ˋ C) P 5 *ἠβάσκει* A^{ar} | *ἄνθεϊ* Polak 6 *ἄψεα* A^{ac} 7 *ἀλλα κατοικτείρασα* A *ἀλλὰ κατ' οἰκτ.* C 8 *χρῶσ* A^{ac} *θρὶξ* Salm. *χνοῦς*? | *ἅμα θ.* Jac. | *μελαινομένων* A^{ar} *μελαινομένωι* P^{pr} ‖ 9 *κομητᾶ χαρτουl* A ep. Cycli esse negant; at diversus poeta ab auctore epp. XV 36 sqq. grammatico 11 *φυλὶς* A alterum *λ* supra add. C | *καταπλόον* C *κατάπλοον* A^{ar} 13 *νῦν δὴ* A^{ac} *νῦν δὲ* C | *δὲ πάλιν*? | *παραθῖνα* P ‖ 15 sqq. est ep. ap. Pl. VII 48 15 *σιλεντια*/ C | *τοῦ αὐτοῦ* (sc. Pauli, post A. P. V 261) Pl 18 *πικρὸς* A *πικρὸν* (litt. *σ* inducta et *ν* supra *σ* posita) C Pl: v. 267, 4 10 *μανίασ* Pl^{I}

σὴν γὰρ ἐμοὶ καὶ πόντος ἐπήρατον εἰκόνα φαίνει
καὶ ποταμῶν δῖναι καὶ δέπας οἰνοφόρον. M 70v

266. ’ΑΓΑΘΊΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ̃. A

α. Τί στενάχεις; β. φιλέω. α. τίνα; β. παρθένον. α. ἦ
ῥά γε καλήν;
β. καλὴν ἡμετέροις ὄμμασι φαινομένην.
α. ποῦ δέ μιν εἰσενόησας; β. ἐκεῖ ποτὶ δεῖπνον ἐπελθὼν
ξυνῇ κεκλιμένην ἔδρακον ἐν στιβάδι.
α. ἐλπίζεις δὲ τυχεῖν; β. ναὶ ναί, φίλος· ἀμφαδίην δὲ
οὐ ζητῶ φιλίην, ἀλλ’ ὑποκλεπτομένην.
α. τὸν νόμιμον μᾶλλον φεύγεις γάμον; β. ἀτρεκὲς ἔγνων,
ὅττι γε τῶν κτεάνων πουλὺ τὸ λειπόμενον.
α. ἔγνως; οὐ φιλέεις, ἐψεύσαο· πῶς δύναται γὰρ
ψυχὴ ἐρωμανέειν ὀρθὰ λογιζομένη; M 71v

267. ΠΑΥ̓ΛΟΥ ΣΙΛΕΝΤΙΑΡΊΟΥ. A

Μηκέτι τις πτήξειε πόθου βέλος· ἰοδόκην γὰρ
εἰς ἐμὲ λάβρος Ἔρως ἐξεκένωσεν ὅλην.

---

1 *σὺν γὰρ* Pls 2 *δέ⌊π⌋ασ* C *δέμασ* Aar | *οἰνοχόον* Pl et A in *οἰνοχόων* mutat C, *οἰνοφόρον* Ludwich *οἰνοχόου* Bothe, fort. *οἰνοδόκον* ‖ 3 sqq. ep. est ap. Pl. VII 69 3 *σχολ* A | *τοῦ αὐτοῦ* (sc. Agathiae, post A. P. V 262) Pl 4 *φιλεω · τινα · παρ-*
γρ καλὴ
θενον · A, accentus add. C | *ηρἀγε* A *ἦράγε* C | *καλήν*; P (*γρ καλὴ* et pro puncto signum interrogandi C) 7 *εἰσἐνόησασ* P | *ἐκει-ποτι* Aac 9 *ἀμφα⌊δ⌋ίην* C *ἀμφασίην* Aar 10 *ὑπὸκλεπτομένην* C
11 *μᾶλλον* P Pl *τί μαθὼν?* | *γάμον.* Aar *γάμον ·* C; posuit Brod. signum interrog.; *ἀτρεκὲς — λειπόμενον* (12) pers. *α* tribuit Br., alteri pers. Heck. 12 *πολὺ* A Pl1 *πουλὺ* C | *το λειπόμενον* P
13 *ἔγνων* (quod personae *β* tribuens defendit Heck.) P *ἔγνωσ.* PlM, *β. ἔγνως.* Br., *α. ἔγνως*; Grotius ‖ 15 sqq. ep. est ap. Pl. VII 49 15 *πανλ σιλ* A *τοῦ αὐτοῦ* (sc. Pauli, post A. P. V 265) Pl 16 *μὴ κέτι⌊τί⌋σ πτήξειε* C *μὴκετιεσ* (?) *πτήξειε* Aar | *τίς πτήξειε* PlM Pl1.a (cf. Nic. E. I 125) 17 *λάβροσ* (′ C) P *λαῦρος* PlM.1

μὴ πτερύγων τρομέοι τις ἐπήλυσιν· ἐξότε γάρ μοι
λὰξ ἐπιβὰς στέρνοις πικρὸν ἔπηξε πόδα,
ἀστεμφής, ἀδόνητος ἐνέζεται, οὐδὲ μετέστη, 5
εἰς ἐμὲ συζυγίην κειράμενος πτερύγων. M 70ᵛ

268. ᾽ΑΓΑΘΊΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ̃. A

Δισσῶν θηλυτέρων μοῦνός ποτε μέσσος ἐκείμην,
τῆς μὲν ἐφιμείρων, τῇ δὲ χαριζόμενος.
εἵλκε δέ μ᾽ ἡ φιλέουσα· πάλιν δ᾽ ἐγώ, οἷά τέ τις φώρ,
χείλεϊ φειδομένῳ τὴν ἑτέρην ἐφίλουν,
ζῆλον ὑποκλέπτων τῆς γείτονος, ἧς τὸν ἔλεγχον 5
καὶ τὰς λυσιπόθους ἔτρεμον ἀγγελίας.
ὀχθήσας δ᾽ ἄρ᾽ ἔειπον· ᾽Εμοὶ τάχα καὶ τὸ φιλεῖσθαι
ὡς τὸ φιλεῖν χαλεπόν, δισσὰ κολαζομένῳ.᾽ M 71ᵛ

269. ΠΑΎΛΟΥ ΣΙΛΕΝΤΙΑΡΊΟΥ. A C

Ὡραῖον. C

Οὔτε ῥόδον στεφάνων ἐπιδεύεται, οὔτε σὺ πέπλων
οὔτε λιθοβλήτων, πότνια, κεκρυφάλων.

---

1 τισ A (s. ἐπήλυσιν) Suid. τὶσ C (Zonar.) τίς Pl^{a} | γὰρ μοι A^{ar} 2 ⌊σ⌋τέρνοισ C πτέρνοισ A^{ar} | πι⌊κ⌋ρὸν (κ in eraso α? C) P 3 ἐνέζεται P idemque Pl^{M}, sed corr. ex ἐνέξεται quod exhib. Pl^{E} | οὐ δε A^{ac} οὐ δὲ C Pl^{I} 4 εἰσ ἐμὲ P Pl, illatum vid. ex vs. secundo; fort. μετ. ἔκτοσε, an οἷά τε? ‖ 5 sqq. ep. est ap. Pl. VII 70 5 σχολ A | τοῦ αὐτοῦ (sc. Agathiae, post A. P. V 266) Pl

6 ποτὲ μοῦνος. P: prius ποτὲ induxit punctisque delevit, alterum add. C; μοῦνος ποτὲ Pl$^{M.I}$ μοῦνός ποτε Pl$^{a.s}$ | μέσσο⌊σ⌋ C μεσσον A^{ar} (et vid. erasa litt. σ supra ο⌊σ⌋) | μέσσα καθήμην Pl 7 ἐφίμείρων C | τῆ⌊ι⌋ δὲ C τῆσ δε A^{ar} 8 εἵλκε δεμ᾽ A^{ac} (εἵλκέ με δ᾽ Wernicke) | οἷα τέ C οἵ ἅτε? A^{ar} οἷά τέ Pl^{M} οἷά γε Bothe | τι σφῶν A^{ar} τι σφῶρ C (qui litt. ν in ρ mut., acc. corrigere om.) τισ φὼρ Pl 9 ἑτέρην A^{ac} 10 ὑπὸκλέπτων (᾽ et ´C) P: v. Nonn. D. 47, 405 | ἧσ: circ. et spir. rest. C 11 ὀχθησασ A in ὠχθήσασ mut. C | δ᾽ ἄρ A^{ac} | δ᾽ ἄρα εἶπον Pl | τοφιλεῖσθαι P 13 τοφιλεῖν A^{ac} ‖ 14 sqq. ep. est ap. Pl. VII 50 14 παυλ σιλ A εντιαριου supplevit C; τοῦ αὐτοῦ (sc. Pauli,

μάργαρα σῆς χροιῆς ἀπολείπεται, οὐδὲ κομίζει
χρυσὸς ἀπεκτήτου σῆς τριχὸς ἀγλαΐην·
P 132 *Ἰνδῴη δ' ὑάκινθος ἔχει χάριν αἴθοπος αἴγλης,* 5
ἀλλὰ τεῶν λογάδων πολλὸν ἀφαυροτέρην.
χείλεα δὲ δροσόεντα καὶ ἡ μελίφυρτος ἐκείνη
ἦθεος ἁρμονίη κεστὸς ἔφυ Παφίης.
τούτοις πᾶσιν ἐγὼ καταδάμναμαι· ὄμμασι μούνοις
θέλγομαι, οἷς Ἐλπὶς μείλιχος ἐνδιάει. M 70v

270. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΙΚΟΥ. A

Τήν ποτε βακχεύουσαν ἐν εἴδεϊ θηλυτεράων,
τὴν χρυσέῳ κροτάλῳ σειομένην σπατάλην

---

post A. P. V 267) Pl pag. 201, 15 ὦ (i. e. ὡραῖον) exaravit C bis (p. 131 ad vs. 1 et p. 132 ad vs. 5 m^{e}); idem p. 132 m^{s} add. haec: *θαυμαστὸν καὶ πλήρης* (*πλῆρες* Jac.) *χάριτος τὸ ἐπίγραμμα* 16 *ῥόδ⌊ο⌋ν* (in eraso *ῥόδων*) Pl^{M} | *οὐ ῥοδέων στ. ἐπιδεύεαι* Huet 17 fort. *οὐ λιθοκολλήτων*: cfr. 275, 10; idem et *οὔτε λιθοκμήτων* ci. Dilthey | *κεκρυφάλων*: ad hanc vocem adnotavit C m^{e}: *ο λεγόμεν̣ο̣ κεκρύφαλ̣ | νῦν καλεῖτ⌜αι⌝ θετόν*

1 *ἀπὸλείπεται* C | *οὐδε* A^{ac} 2 *ἀπεκτή του* (acut. pro circ. rest. C) P: *γρ. ἐυτήκτου* supra scr. C, quem *εὐπέκτου* sive *εὐπλέκτου* (*ἐϋπλέκτου*?) voluisse suspicatur Jac.; *ἀπεκτήτου* Pl Suid. (s. hac v.) | *ἀγλαίζην* Suid.^{A} 3 v. Nonn. D. 42, 239 | *ἰνδώη* A (Pl^{E}) *ἰνδώιη* (litt. ω clarius expressa) C, Pl^{M} Suid.^{A} (s. v. *λογάδες*); *ἦν δώη* S.^{V} *ἦν δῴη* S.$^{B.E}$ *ἦν δῴης* S. edd. | *δ' ὑάκινθον* (S.$^{B.E}$) *ἔχειν* (S.$^{B.E.V}$) S. edd. vett. | *αἴθ⌊ο⌋ποσ* C *αἴθωποσ* A^{ar} 4 *λοχάδων* Salm. | *πολλὸν* P Pl *πουλύ γ'* Suid.$^{A.B}$ *πολυ γ'* S.^{V} | *ἀφαυροτέρη⌊ν⌋* P: *⌊ν⌋* in eras litt. incerta (certe non in σ) C, *ἀφαυροτέρης* praefert Sternb. 6 *ἤθεοσ* P Suid. (s. v. *κεστός*) *ἔνθεος* Pl *στήθεος* Heck., fort. *εἴδεος* | *ἁρμονίη* A^{ac} 8 *ἐλπὶσ* P Pl Suid. (s. v. *ἐνδιάει*) ‖ 9 *ὑπατικοῦ* (sic) A 10 *τὴν ποτὲ* P | *ἐνείδεϊ* P *ἐν εἴδεσι* sched. Thryll. *ἐν ἤθεσι* ap. Buh.^{m} *ἀν' ἤθεα* ap. R. et B.^{m} *ἐν εἴαρι* Jac. (*ἐν ἴδεϊ* olim Heck.) *ἐπ' εἴδεϊ* Polak; *ἐν εὐάσι* ego ci.: at cfr. Nicet. Eug. III 154, Sternb. M. 83 11 *χρυσέ⌊ο⌋ κροτάλωι* P: *⌊ο⌋* C qui hyphen add. ad iungendas partes vocis *χρυσεοκροτάλῳ* (Jac., Heck.); *χρυσέωι κροτάλωι* A^{ar} (idem ci. Reiske; an *χρυσέων κροτάλων*?) *χρυσοκροτάλῳ* ap. Buh. (Br.) | *σπατάλην* P, *σπατάλη* Br. (*πατάγῃ* Pauw, *Σπατάλην* Reiske *σπαταλὴν* Sternb.; cf. 272, 1; VI 74, 8) | *τῶν χρ. σευομένων σπατάλῃ* Heck.

γῆρας ἔχει καὶ νοῦσος ἀμείλιχος· οἱ δὲ φιληταί,
οἵ ποτε τριλλίστως ἀντίον ἐρχόμενοι,
νῦν μέγα πεφρίκασι· τὸ δ' αὐξοσέληνον ἐκεῖνο
ἐξέλιπεν, συνόδου μηκέτι γινομένης.

271. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Μαζοὺς χερσὶν ἔχω, στόματι στόμα, καὶ περὶ δειρὴν
ἄσχετα λυσσώων βόσκομαι ἀργυφέην.
οὔπω δ' Ἀφρογένειαν ὅλην ἔλον· ἀλλ' ἔτι κάμνω
παρθένον ἀμφιέπων λέκτρον ἀναινομένην.
ἥμισυ γὰρ Παφίη, τὸ δ' ἄρ' ἥμισυ δῶκεν Ἀθήνη· 5
αὐτὰρ ἐγὼ μέσσος τήκομαι ἀμφοτέρων. Ap. 40

272. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Ἡ πάρος ἀγλαΐῃσι μετάρσιος, ἡ πλοκαμῖδας
σειομένη πλεκτὰς καὶ σοβαρευομένη,

---

1 *νοῦσος* corruptum vid. Heckero: cf. Nicet. Eugen. III 156 2 *οἱ ποτὲ* P | *τριλίστωσ* P *τριλλίστως* Suid.$^{B.E}$ (s. v. *φιληταὶ*) *τριλαίστως* Suid.^{A} *τριλέστως* Suid.^{V} (*θρυλλήστως* Suid. edd. vett.) | *ἐναντίον* Suid. (sed *ἀντίον* Suid.^{V}) 3 *αὐξοσέληνον* P (hyphen add. A); *αὐτοσέληνον* Polak ‖ 5 sqq. Ap^{m} p. 608, Ap^{v} f. 73^{r} 5 *παυὶ σιl* A *Παύλου* Ap 5 *στόματι* om. Ap^{v} | *στόμα* om. Ap^{m} | *περιδειρήν* A *περιδειρὴν* C 7 *λυσσάων* Ap | *ἀργυφαίην* Ap^{m} *αργυφερην* et *γρ. ἀργυφέην* Ap^{v} *ἀργυρέην* Heinsius 8 *ὅλην ἔλον* Ä^{ac} | *ἀλλέτι* A^{ac} | *κάμνων* P *κάμνω* Ap et ap. Buh.^{m} (idem ci. Reiske) 9 om. Ap | *ἀμφίεπον* P, cr. Reiske 10 *ἡ μισυ* (utroque loco) A^{ac} *ἢ μισυ* Ap^{m} | *παφίη* Ap et ap. Buh. | *δ' ἄρ* A *δ' ἄρ'* C *δ'* Ap^{m} (*δ' αὖ* Reiske) | *ἀθήνη* Ap et ap. B. 11 *αὐτ∗∗ὰρ* P (*αὐτογαρ* A^{ar}) | *μέσσος* om. Ap., *μέσον* Nic. Eug. VI 627 | *ἀμφοτεράων* P, corr. apogr. et Ap ‖ 12 sqq. ep. est ap. Pl. VII 71 12 *σχολ* A | *τοῦ αὐτοῦ* (sc. Agath., post A. P. V 268) Pl | num. ō add. C m^{e} huic, non praecedenti carmini, per errorem inde fort. natum, quod ep. 265 lemmate olim destitutum erat 13 *πλοκαμίδασ* P (′ C) 14 *σειομενη* A^{ac} | *παίκτας* (sic) Pl^{M} Pl$^{I.a}$ *πεκτὰς* Pl$^{b.s}$; *πλαγκτὰς*?

ἡ μεγαλαυχήσασα καθ' ἡμετέρης μελεδώνης
γήραϊ ῥικνώδης τὴν πρὶν ἀφῆκε χάριν.
μαζὸς ὑπεκλίνθη, πέσον ὀφρύες, ὄμμα τέτηκται,
χείλεα βαμβαίνει φθέγματι γηραλέῳ.
τὴν πολιὴν καλέω Νέμεσιν πόθου, ὅττι δικάζει
ἔννομα ταῖς σοβαραῖς θᾶσσον ἐπερχομένη. M 71v

273. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Τὴν πρὶν ἐνεσφρήγισσεν Ἔρως θρασὺς εἰκόνα μορφῆς
ἡμετέρης θερμῷ βένθεϊ σῆς κραδίης,
φεῦ φεῦ, νῦν ἀδόκητος ἀπέπτυσας· αὐτὰρ ἐγώ τοι
γραπτὸν ἔχω ψυχῇ σῆς τύπον ἀγλαΐης.
τοῦτον καὶ Φαέθοντι καὶ Ἄιδι, βάρβαρε, δείξω,
Κρῆσσαν ἐπισπέρχων εἰς σὲ δικασπολίην. M 70v

274. ΤΟΥ̃ ΑΥ̓ΤΟΥ̃. A

Δειελινῷ χαρίεσσα Μενεκρατὶς ἔκχυτος ὕπνῳ
P 133 κεῖτο περὶ κροτάφους πῆχυν ἑλιξαμένη.

---

1 η μεγα λαυχησασα A^{ac} | καθημετέρης A^{ac} 2 χειρασ ἐρικνώθη P Pl (χροιὰν tent. Segaar) γήρᾳ ἐρ. Pierson γήραϊ ῥικνώδης Jac. 3 μαζὸς A μαζ̀σ C | (πέπτωκεν ὀφρύς Nic. Eug. III 187) 5 καλέω,ν ἐμεσιν (sic) P: quas litteras iunctim scripserat A, virgula disiunxit C | olim ci. νέμεσιν κόρου | ὁττι A^{ac} ὅττι Pl$^{M.s}$ ὅτι Pl$^{I.a}$ ‖ 7 sqq. ep. est ap. Plan. VII 51 7 παυl σιλεντιαρίου A τοῦ αὐτοῦ (i. e. Pauli, post A. P. V 269) Pl 8 ab initio vs. signum ⁄· et in m^{e} ζ signaque ÷ et ⁄· posuit C, ζτ man. rec. m^{e} | ἐνεσφρήγ⌊ϊ⌋σεν C ἐνεσφριγησεν (sic) A^{ar} | ⌊ἔ⌋ρ⌊ω⌋*σ ⁄· P: πρανσ potius quam θρασυσ A^{ar}, ἔρωσ θρασὺς Pl; Ἔρ. λάβρος Schm., γλυκὺς Herw.; ipse ci. Ἔρως σοφὸς (nisi aliud latet, velut —σσε Πόθων γραφὶς; an ἔρῳ γρ.?) 9 βένθεϊ C βενθεὶ A^{ar} 10 ἀπέπτυσασ P: πτ ex π cr. C 11 τύπ⌊ο⌋ν C τύπων A^{ar} | ἀγλαιησ A^{ac} 12 φαεθόντι A^{ar} φαέθοντι C | αἰδοῖ (᾽ et ˜ A C) P Pl 'Orco' interpret. Opsop., Ἄιδι Scaliger 13 ἐπὶ σπέρχων C ἐπισπ. A | εἴσ σε Pl^{M} ‖ 14 sqq. ep. exhibet Ap^{m} p. 605 Ap^{v} f. 71v 14 παύλου Ap 15 δειελινῶ A δειελινῶι C δειελινὰ Ap^{m} | μενεκράτ⌊ι⌋σ C (Ap^{v}) μενεκράτησ A^{ar} μανεκράτης Ap^{m} | ἔκχυτο Ap^{v} ἐκχυτο Ap^{m} 16 περι A^{ac} παρὰ Ap | κροτάφοις Ap^{v} | πήχυν A^{ar} | ἑλιξαμένη P Ap^{m}

τολμήσας δ' ἐπέβην λεχέων ὕπερ· ὡς δὲ κελεύθου
ἥμισυ κυπριδίης ἤνυον ἀσπασίως,
ἡ παῖς ἐξ ὕπνοιο διέγρετο, χερσὶ δὲ λευκαῖς
κράατος ἡμετέρου πᾶσαν ἔτιλλε κόμην·
μαρναμένης δὲ τὸ λοιπὸν ἀνύσσαμεν ἔργον ἔρωτος·
ἡ δ' ὑποπιμπλαμένη δάκρυσιν εἶπε τάδε·
'Σχέτλιε, νῦν μὲν ἔρεξας ὅ τοι φίλον, ᾧ ἔπι πουλὺν
πολλάκι σῆς παλάμης χρυσὸν ἀπωμοσάμην·
οἰχόμενος δ' ἄλλην ὑποκόλπιον εὐθὺς ἑλίξεις·
ἐστὲ γὰρ ἀπλήστου κύπριδος ἐργατίναι.' Ap. 27

275. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Σοὶ τόδε τὸ κρήδεμνον, ἐμὴ μνήστειρα, κομίζω,
χρυσεοπηνήτῳ λαμπόμενον γραφίδι·
βάλλε δὲ σοῖς πλοκάμοισιν· ἐφεσσαμένη θ' ὑπὲρ ὤμων
στήθεϊ παλλεύκῳ τήνδε δὸς ἀμπεχόνην.
ναὶ ναὶ στήθεϊ μᾶλλον, ὅπως ἐπιμάζιον εἴη
ἀμφιπεριπλέγδην εἰς σὲ κεδαννύμενον.
καὶ τόδε μὲν φορέοις ἅτε παρθένος· ἀλλὰ καὶ εὐνὴν
λεύσσοις καὶ τεκέων εὔσταχυν ἀνθοσύνην,

---

1 ὑπερ A ὕπερ C | κελεύθου Ap (idem ci. Salm) κέλευθον P 2 ἥμισυ A^{ac} ἥμισι Ap^{m} ἥμυσι Ap^{v} | ασπασίως A^{ac} Ap^{m} ἀσφαλέως? 3 ἡ παΐς? | ἐξ ὕπνοιο P | δε P Ap^{m} | λευκαὶσ A^{ac} 5 μαρνάμενοι Ludw., μαρναμένη? | ἀνύσομεν A^{ac} ἀνύσαμεν C Ap^{m} ἀνύσσαμεν Ap^{v} app. | ἐρώτων Ludw. 6 ἀναπιμπλαμένη ap. L. 7 νῦν P σὺ Ap | ὅ τοι P ὅ τι Ap | ὡι A ὡῖ C ᾧ Ap^{m} | ἐπιπολὺν Ap^{m} 8 ἀπωμοσάμην A ἀπὠμ. C ἀπομοσάμενην Ap^{m} ἀπωσαμένην ap. L. ἀπωσάμεθα Ruhnk. (qui suam coniect. postea sprevit) ἀπῶσα μάτην Jac. 9 ὑπὸκόλπιον C ὑποκόλπιος Ruhnken | ἑλίξεισ A^{ac} ἑλ. C ἐνέξεις Salm. 10 ἐστὲ: C ‖ 11 σχοῖ A 12 ἐμῆ P 13 χρυσεοπηνήτω A ι fin. add. C 14 βᾶλλε P: circ. A ′C | ἐφεσσαμένη θ' (sic) A ἐφέσσαμένη θ' C | δ' ὑπὲρ Pierson | ὑπερώμων A^{ac} 15 παλλεύκ⌊ωι⌋ C παλλεύκτω? A^{ar} | τῆν δε C τήν δε A 16—17 'suspectum distich.' ap. $B.^{m}$ 16 ἐπὶμάζιον ex ἐπιμ. C | εἰη A^{ac} 18 τὴν μὲν Salm., τάδε μὲν? | ἀλλ⌊ὰ⌋ C ἄλλαι? A^{ar} 19 λεύσοισ A (σπεύδοις? cf. Eur. fr. 501) ‖

ὄφρα σοι ἐκτελέσαιμι καὶ ἀργυφέην ἀναδέσμην
καὶ λιθοκολλήτων πλέγματα κεκρυφάλων.

276. ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΣΧΟΛΑΣΤΙΚΟΥ. A. Pl

Ἄρσενας ἄλλος ἔχοι· φιλέειν δ' ἐγὼ οἶδα γυναῖκας,
ἐς χρονίην φιλίην οἷα φυλασσομένας.
οὐ καλὸν ἡβητῆρες· ἀπεχθαίρω γὰρ ἐκείνην
τὴν τρίχα, τὴν φθονερήν, τὴν ταχὺ φυομένην. M 72r

277. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Αὐτή μοι Κυθέρεια καὶ ἱμερόεντες Ἔρωτες
τήξουσιν κενεὴν ἐχθόμενοι κραδίην,
ἄρσενας εἰ σπεύσω φιλέειν ποτέ. μήτε τυχήσω,
μήτ' ἐπολισθήσω μείζοσιν ἀμπλακίαις.
ἄρκια θηλυτέρων ἀλιτήματα, κεῖνα κομίσσω,
καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ. M 71v

---

3 sqq. ep. est apud Pl. VII 83 3 ἐρατοσθ σχολ A 4 ἄλλος P: ' C; ἄρσενα Γάλλος ἔχοι cave restituas ex Hor. Sat. I 2, 121 conlatis novicii epigr. (apud Br. II 85 n. 9) verbis (non Philodemi, cui primus Chardon abiudicat, cf. Susem. H. L. G. II 278): τὴν δ' ἄρα Γάλλος ἔχοι 5 οἷα A^{ac} 6 οὐχ ἅδον? | ἡβητῆρες P ἡβ. Pl Suid. s. v. ἡβητήρ | ἀπεχθαίρω Pl^{M} (sed ἀπε corr. ex ἀχε) 7 τὴν φθονερὴν om. Suid. Zonar. | τάχα Küst. | φυομένην P Pl $S.^{v}$ Zon. φοβουμένην $Suid.^{A.B.E}$ ‖ 8 sqq. ap. Pl. VII 72 8 σχολ A | τοῦ αὐτοῦ (sc. Agathiae, post A. P. V 272) Pl 9 ἀύτη A^{ac}: hoc primo in ἅυτη post in ἀυτή mutat C, ut nunc ᾽ἅυτή exstet; αὐτή ex αὐτὴ cr. Pl^{M} 10 τήξουσι A τήξουσι Pl^{I} | ἐχθόμενοι P ἀχθόμενοι ex ἐχθόμενοι correctum Pl^{M} ἀχθόμενοι Pl^{E}; ἐχθομένῳ Dübner: sed cfr. Od. π 114 (olim. ci. ἐχθοδοποί) 11 μή τετυχήσω P 12 μήτ' P Pl ἦν Rubens. | ἐπόλισθήσω C 13 ἄρ κι primo A, α fin. postea accessit; ἄρκεῖ? | ἀλίτήματα A^{ar} ἀλιτήματα C | κομῐ̈σσω Pl^{M} (Pl pristinum ι mut. in η) κομίσσω P Pl^{E} 14 καλλείψω Pl C καλύψω A^{ac} idem $Suid.^{B}$ (s. v. Πιττάλακος) | ἄφρ[ο]νι C ἄφρων A^{ar} | πίττα λάκωι P: signa supra ιτ C, qui m^{i} adscripsit τί ὁ (i. e. τί σημαίνει) πιττα|λάκωι | καλλείψω — πιτταλάκῳ verba om. in t., add. in m. $Suid.^{v}$ ‖

278. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Δηθύνει Κλεόφαντις· ὁ δὲ τρίτος ἄρχεται ἤδη
λύχνος ὑποκλάζειν ἦκα μαραινόμενος.
αἴθε δὲ καὶ κραδίης πυρσὸς συναπέσβετο λύχνῳ
μηδέ μ' ὑπ' ἀγρύπνοις δηρὸν ἔκαιε πόθοις.
ἃ πόσα τὴν Κυθέρειαν ἐπώμοσεν ἕσπερος ἥξειν·
ἀλλ' οὔτ' ἀνθρώπων φείδεται οὔτε θεῶν. M 70v

279. ᾽ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Ἦ ῥά γε καὶ σύ, Φίλιννα, φέρεις πόνον; ἦ ῥα καὶ αὐτὴ
κάμνεις, αὐαλέοις ὄμμασι τηκομένη;
ἢ σὺ μὲν ὕπνον ἔχεις γλυκερώτατον, ἡμετέρης δὲ
φροντίδος οὔτε λόγος γίνεται οὔτ' ἀριθμός;
εὑρήσεις τὰ ὅμοια, τεὴν δ', ἀμέγαρτε, παρειὴν
ἀθρήσω θαμινοῖς δάκρυσι τεγγομένην.
Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος· ἓν δέ τι καλὸν
ἔλλαχεν, ἐχθαίρειν τὰς σοβαρευομένας. M 71v

1sqq. ep. est ap. Pl. VII 52 1 παυλ σιλ A τοῦ αὐτοῦ (sc. Pauli, post A. P. V 273) Pl 2 κλεοφάντισ A^{ar} Pl κλεόφαντις C 3 ὑποκλάζειν A Pl ὑπὸκλάζειν C | ἦκα P (circ. A et C, spiritum C) ἧκα Pl (ex ἦκα? corr. Pl^{M}) | μαραινόμενοσ ex βαρ. mut. C 4 αἴθε A^{ac} | σὺν ἀσπέσβετο P (᾽ et ᾽ C): cf. Nic. E. VI 485 5 μὴ δέ Pl^{M} $Pl^{I.a}$ | ὑπαργύπνοισ A^{ac} | δαλὸσ s. ζῆλοσ? 6 ἃ P ἃ Pl | ἐπώμοσεν ex ἐπώμοσεν fecit C | imperfectum reliquit vs. A, supplevit add. ἴξειν (ex ἴξιν? cr.) C; ἐλθεῖν Pl, ἥξειν Br. 7 ἄλλουτ' A^{ac} | ἀνῶν comp. Pl^{M} | φείδεται P Pl κήδεται interpretamenti loco adponunt $sch^{B.w}$ (idem ci. Herw.) ‖ 8 sqq. ep. est ap. Pl. VII 73 8 σχολ A | τοῦ αὐτοῦ (sc. Agathiae, post A. P. V 277) Pl 9 ἠρά A^{ac} | πόνον P πόθον Pl | ἦρα καὶ P 10 ἀ⌊ν⌋αλέοισ P: ν C ἀν. A^{ar}; μυδαλέοις Polak οἰδαλέοις? 11 ἔχεισ ὕπνον Pl^{I} | noli cr.: σὲ μὲν ὕπνοσ ἔχ. γλυκερώτατοσ 12 γίνετ' A^{ac} γίνετ⌈αι⌉ C idem Pl^{M} γίγνεται Pl^{E} | οὐτ' A^{ac} | cit. Callim. ep. 27, 6 $sch.^{B}$ 13 εὑρήσεισ: ᾽ C | τὰ ὅμοια C τὰὁμοια A^{ar} τάχ' ὅμ. Jac.; fort. παρόμοια | τεήν δ' Pl^{M} 15 ἐνδέτι ex ἐνδέτι cr. P 16 ἐχθαίρειν P (litt. ν ab A scriptam et puncto et litura delevit C), ἐχθαίρει Pl, cum A facit Suid. s. v. παλίγκοτος ‖

280. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Χθιζά μοι Ἑρμώνασσα φιλακρήτους μετὰ κώμους
στέμμασιν αὐλείας ἀμφιπλέκοντι θύρας
ἐκ κυλίκων ἐπέχευεν ὕδωρ· ἀμάθυνε δὲ χαίτην,
ἣν μόλις εἰς τρισσὴν πλέξαμεν ἀμφιλύκην.
ἐφλέχθην δ' ἔτι μᾶλλον ὑφ' ὕδατος· ἐκ γὰρ ἐκείνης
λάθριον εἶχε κύλιξ πῦρ γλυκερῶν στομάτων. M 70v

281. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Ἡ ῥαδινὴ Μελίτη ταναοῦ ἐπὶ γήραος οὐδῷ
τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν.
ἀλλ' ἔτι μαρμαίρουσι παρηίδες, ὄμμα δὲ θέλγει
ἥλιθα· τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη.
μίμνει καὶ τὸ φρύαγμα τὸ παιδικόν· ἐνθάδε δ' ἔγνων,
ὅττι φύσιν νικᾶν ὁ χρόνος οὐ δύναται. M 71v

282. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Δάκρυά μοι σπένδουσαν ἐπήρατον οἰκτρὰ Θεανὼ
εἶχον ὑπὲρ λέκτρων πάννυχον ἡμετέρων·

---

1 sqq. ep. est ap. Pl. VII 53 1 *παυλ σιλ* A *τοῦ αὐτοῦ* (sc. Pauli, post A. P. V 278) Pl 2 *ἑρμώνασσα* P | *φιλακρήτοις μ. κώμοις* Ludw. 3 *ἀναπλέκοντι* Pl[I] 4 *ἀμαθῦνε* A[ar] | *δὲ*: ' C 4 *ἐς* P Pl Suid. s. *ἀμφιλύκη* | *τρισσὴν* C *τρισὶν* A[ac] (*τρισιν* S.[A]), *τρισσὴν* Pl | *πλέξομεν*? at v. Od. *μ* 312 6 *ὑφύδατος* A[ac] ‖ 8 sqq. ap. Pl. VII 74 8 *σχολ* A | *τοῦ αὐτοῦ* (sc. Agath., post A. P. V 279) Pl 9 *ῥαδινὴ*: ' C | *μελέτη* Suid.[G] s. v. *ῥαδινή* | *ἐπι* A[ac] S.[V] 10 *ἀποτῆσ* A *ἀπὸτῆσ* C Pl *ἐρατῆς* FG. Schmidt | *ἤβησ* A[ac] | *οὐκαπέθηκε* A *οὐκ' ἀπ.* C 11—12 *θέλγει ἥλιθα* scripsi; *θέλγειν οὐ λάθε* ∗ P (*λάθεν* A[ar]) *θέλγον οὐ λάθε* Pl[M] Pl[a.s] (*θέλγειν οὐ λ.* Pl[I]) *θέλγειν οἶδ' ἔτι* Jac. (*οἶδ' ἔθ'*, *ἐῶν δ' ἐτέων* FG. Schmidt, *οὐ λάθετ'*, *ὧν δ' ἐτέων* sic Herw.), *θέλγον οὐ λίπε* Dilthey; *θέλγον οὐ κάμε* Ludwich | *τῶν δ' ἐτέων — ὀλίγη*: cfr. Callim. fr. 489 | *η δε κὰσ οὐκολίγη* A[ac] 13 *μίμνε δὲ καὶ* Ludw. | fort. *τὸ πωλικόν* | *ἐνθάδε* C *ἔνθα δέ* A[ar] 14 *ὅτι* A *ὅτι* C *ὅττι* Pl | *Φύσιν* et *Χρόνος* Dilthey | *νικᾷν* Pl[M·I] ‖ 15 *παυλ σιλ* A 17 *ὑπερ* A[ac]

ἐξότε γὰρ πρὸς Ὄλυμπον ἀνέδραμεν ἕσπερος ἀστήρ,
μέμφετο μελλούσης ἄγγελον ἠριπόλης.
οὐδὲν ἐφημερίοις καταθύμιον. ἦ τις Ἐρώτων
λάτρις νύκτας ἔχειν ὤφελε Κιμμερίων.

283. ΡΟΥΦΙΝΟΥ ΔΟΜΕΣΤΙΚΟΥ. A

Πάντα σέθεν φιλέω· μοῦνον δὲ σὸν ἄκριτον ὄμμα
ἐχθαίρω, στυγεροῖς ἀνδράσι τερπόμενον. M 73v

284. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Εἰργομένη φιλέειν με κατὰ στόμα δῖα Ῥοδάνθη
P 135 *ζώνην παρθενικὴν ἐξετάνυσσε μέσην*
11 *καὶ κείνην φιλέεσκεν· ἐγὼ δέ τις ὡς ὀχετηγὸς*
ἀρχὴν εἰς ἑτέρην εἶλκον ἔρωτος ὕδωρ,
αὖ ἐρύων τὸ φίλημα· περὶ ζωστῆρα δὲ κούρης
μάστακι ποππύζων τηλόθεν ἀντεφίλουν.
ἦν δὲ πόνου καὶ τοῦτο παραίφασις· ἡ γλυκερὴ γὰρ
ζώνη πορθμὸς ἔην χείλεος ἀμφοτέρου. Ap. 26

---

1 ἐξότε A ἐξῶτε C 2 ἄγγελον C ἀγγελων? A^{ac} | ἠριπόλησ A ἠριπ. C 3 ⌞εἴ⌟τισ C ἦ τισ A^{ar}; restitui ἦ τις; in eandem emendationem incidit pristinae scripturae inscius Polak 4 ὦ φελε C ὦ φίλε A^{ac} ‖ 5 sqq. ap. Pl. VII 121 5 ρουφίνου Δοῦ A ῥούφου δομεστίκου (sic) Pl^{M} 6 ἄκρ⌞ι⌟τον C ἀκρῆτον A^{ar} ‖ 8 sqq. ep. exhib. Ap^{m} p. 605, Ap^{v} f. 71r 8 σχολ A | Ἀγαθίου Ap 9 εἰγομένη Ap^{m} | κατα P | δῖα: circ. C, δι' ἀ Ap^{m} 10 ζώννην Ap^{m} | παρθενικὴν (non παρθενικὰν) A (η clarius redd. C) | ἐξετάνυσε Ap 11 κεῖθεν φ.? | ὀχετηγὸσ (᾽ C) P ὀχεταγὸσ Ap^{v} ὀχετασγὸσ Ap^{m} 12 fort. ὄχθην | ἑτέρην A^{ac} Ap^{m} | εἶλκον A^{ac} εἶλκον C ἕλκον Ap^{v} ἕλκον Ap^{m} | ὑδωρ A^{ac} 13 ἀῦ ἐρύων (spir. utrumque et circ. A C) P αὖ ἐρύων et αὐερύων ap. Buh.m (ἀνερύων ap. Guiet. et ap. B.t) | περι A^{ac} 14 ποππίσδων Ap | ἀντ' ἐφίλουν C^{pc} 15 πόθου praefert Sternb. | παραίφρασις Ap^{m} | γλυκερή γάρ A^{ac} γλυκέρη γὰρ Ap^{m} 16 πορμὸσ Ap^{m} (v. Nonn. D. 42, 43) ‖

285. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Φράζεό μοι, Κλεόφαντις, ὅση χάρις, ὁππότε δοιοὺς
λάβρον ἐπαιγίζων ἶσος Ἔρως κλονέει.
ποῖος ἄρης ἢ τάρβος ἀπείριτον ἠὲ τίς αἰδὼς
τοῖσδε διακρίνει πλέγματα μισγομένοις;
εἴη μοι μελέεσσι τὰ Λήμνιος ἥρμοσεν ἄκμων
δεσμὰ καὶ Ἡφαίστου πᾶσα δολορραφίη·
μοῦνον ἐγώ, χαρίεσσα, τεὸν δέμας ἀγκὰς ἑλίξας
θελγοίμην ἐπὶ σοῖς ἄψεσι βοσκόμενος.
δὴ τότε καὶ ξεῖνός με καὶ ἐνδάπιος καὶ ὁδίτης,
πότνα, καὶ ἀρητὴρ χἠ παράκοιτις ἴδοι. M 70v

286. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Σπεύδων εἰ φιλέει με μαθεῖν εὐῶπις Ἐρευθώ,
πείραζον κραδίην πλάσματι κερδαλέῳ·

1sqq. ap. Pl. VII 54 1 *παυλ σιλ* A *εντιαρίου* supplevit C; *τοῦ αὐτοῦ* (sc. Pauli, post A. P. V 280) Pl 2 *κλεόφαντι.σοσή* P (acc. priorem et punctum add. C, *κλεοφάντι σοσή* A^{ac}) *Κλεοφάντις ὅση* Pl 3 *λαῦρον* Pl *λάβρος* Herw. | *ἶσοσ* A *ἶσοσ* C *ἴσοσ* cum circ. supra addito Pl^{M}; (*λάβρος*) *ἶσον*? 4 malebam (*ποῖον ἄγος,*) *τί δὲ τάρβος*; sed nihil opus mutatione | *ἀπείριτον*: ´ C | *ἠ∗è τίσ* C *ηιετίσ* A^{ar} *ἠέ τις* Pl^{I} | *αἰδ̆ὼσ* P: ´A` C 5 *τοῖσ δε* $A^{ac}$ *ι* in *υ* mut. C (ut nunc *τοῦσ δε* in P exstet) *τούσδε* Pl | *διὰκρίνει* (` C) P *διακρινέει* Br. *διακρίναι* Bothe | *βαλλομένοις* P (nihil mut. C) *βαλλομένους* Pl (*τούσδε διακρίνοι πλέγμασι θαλπομένους* Herw.), scripsi *μισγομένοις*, an *θλιβομένοις*? 6 *εἴη τοι* Jac. *εἴη ἐμοῖς* Graefe | *ἥρμοσεν* A^{ac} 8 *ἑλίξασ* P 9 *θαλποίμην* FG. Schmidt | *ἐπισοῖσ* P | *ἄψεσι* A^{ac} | *βουλόμενος* P Pl *βαλλόμενος* Brod. *ἴσως ἰλλόμενος* (Steph.) *ἢ ἀλλόμενος* sch.$^{B.w}$ (in Pl^{w} haec per errorem versui quarto adposita sunt ad *βαλλομένους*, non item in Pl^{B}) *βοσκόμενος* Jac. *βουλομένης* Heck. 10 *δὴ* A in *δεὶ* corrumpit C | *ξεῖνοσ* A^{ac} Pl^{M} | *ὁδ⌊ί⌋τησ* C *ὁδειτησ* A^{ac} 11 *ἀρητὴρ∗⌊χ'⌋ἡ* C: erasa est ante *χ* litt. *ι* (*ἀρητῆρι* A^{ar}) ‖ 12sqq. ap. Pl. VII 75 12 *σχολ* A | *τοῦ αὐτοῦ* (sc. Agathiae, post A. P. V 281) Pl 13 *∗με* P^{pr} *εμε* A^{ar} 14 *σπείραζον* P, cr. Pl

'Βήσομαι εἰς ξείνην τινά που χθόνα· μίμνε δέ, κούρη,
ἀρτίπος, ἡμετέρου μνῆστιν ἔχουσα πόθου.'
ἡ δὲ μέγα στονάχησε καὶ ἤλατο καὶ τὸ πρόσωπον
πλῆξε καὶ εὐπλέκτου βότρυν ἔρηξε κόμης,
καί με μένειν ἱκέτευεν· ἐγὼ δέ τις ὡς βραδυπειθὴς
ὄμματι θρυπτομένῳ συγκατένευσα μόνον.
ὄλβιος εἰς πόθον εἰμί· τὸ γὰρ μενέαινον ἀνύσσαι
πάντων, εἰς μεγάλην τοῦτο δέδωκα χάριν. M 71v

287. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Ἐξότε μοι πίνοντι συνεψιάουσα Χαρικλὼ
λάθρῃ τοὺς ἰδίους ἀμφέβαλε στεφάνους,
πῦρ ὁλοὸν δάπτει με· τὸ γὰρ στέφος, ὡς δοκέω, τι
εἶχεν, ὃ καὶ Γλαύκην φλέξε Κρεοντιάδα. M 70v

288. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. A

Ἡ γραῦς ἡ τρικόρωνος, ἡ ἡμετέρους διὰ μόχθους
μοίρης ἀμβολίην πολλάκι δεξαμένη,

---

1 ἐς P Pl, cr. Sternb. | ξείνην: ′ C | τινάπου P τινὰ που Pl^{M} τινά ποι Herw.; f. ἔνεπον | κούρα P κούρη Pl 2 ἀρτίποσ (′ C) P, voc. om. (relicto spatio vacuo) Pl^{M}, λέξω Pl^{E} (γρ. καὶ λέξας sch.^{w}) 3 ⌊ἦ⌋λατο C Pl ειλατο A^{ar} ἤλυε Herw. (στοναχοῦσ' ἅμ' ἀνήλατο FG. Schmidt); ego ἔκλαγε, ὤκλασε et ἤχθετο ci., sed cf. Theocr. 19, 4 4 ἔθραξε κόμ.? 5 ἱκέτευε A^{ac} ἱκέτευεν C ἱκέτευσεν Br. 6 σὺγκατ⌊έ⌋νευσα C συνκατεύνευσα (sic) A^{ac} | μόνον P idemque Pl^{M} μένειν Pl^{E} μένων Br. μόλις Herw. alii post Reiskium (noli ci. μονήν) 7 ἐς P Pl | μενεαῖνον A^{ar} | ἀνῦσσαι P ἀνύσσαι Pl^{M} 8 πάντωῦ (σ scr. C) P, πάντων ex πάντως cr. Pl^{M} πάντων Pl^{E}; post ἀνύσσαι disting. P Pl^{M} Pl$^{a.s}$, sed post πάντων Pl^{I}; malim κάμνων | ὡς pro εἰς Herw. ‖ 9 sqq. ep. est ap. Pl. VII 55 9 παυλ σιλ A τοῦ αὐτοῦ (sc. Pauli, post A. P. V 285) Pl 10 ἐξῶτε C ἐξότε A^{ac} | πίνο*ντι C πινοῦντι A^{ar} | σὺνεψιάουσα ex συνεψ. fecit C, συνεστιάουσα Pl (cum P consent. Suid.^{V} sed s. v. συνεψιάζουσα) 11 λάθρη P Pl^{M} Pl$^{I.s}$ λάθρῃ Pl^{a} | τοὺσ ἰδίουσ P Pl; μυδαλέους? 12 ὁλοὸν P | ὡσ P ὥσ A^{ar} | τί P Pl^{I} τῐ Pl$^{M.a}$ τὶ Pl^{s} 13 γλαύκὴν P (′A′C qui γλυκὺν in γλαύκην mut.) ‖ 14 sqq. ep. exhib. Ap^{m} p. 608 Ap^{v} f. 73^{v}

P 136 ἄγριον ἦτορ ἔχει καὶ θέλγεται οὔτ' ἐπὶ χρυσῷ
οὔτε ζωροτέρῳ μείζονι κισσυβίῳ.
τὴν κούρην δ' αἰεὶ περιδέρκεται· εἰ δέ ποτ' αὐτὴν
ἀθρήσῃ κρυφίοις ὄμμασι ῥεμβομένην,
ἃ μέγα τολμήεσσα, ῥαπίσμασιν ἀμφὶ πρόσωπα
πλήσσει τὴν ἁπαλὴν οἰκτρὰ κινυρομένην.
εἰ δ' ἑτεὸν τὸν Ἄδωνιν ἐφίλαο, Περσεφόνεια,
οἰκτειρον ξυνῆς ἄλγεα τηκεδόνος.
ἔστω δ' ἀμφοτέροισι χάρις μία· τῆς δὲ γεραιῆς
ῥύεο τὴν κούρην, πρίν τι κακὸν παθέειν. Ap. 39

289. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. A

Ὄμμα πολυπτοίητον ὑποκλέπτουσα τεκούσης
συζυγίην μήλων δῶκεν ἐμοὶ ῥοδέων
θηλυτέρη χαρίεσσα. μάγον τάχα πυρσὸν ἐρώτων
λαθριδίως μήλοις μῖξεν ἐρευθομένοις·
εἰμὶ γὰρ ὁ τλήμων φλογὶ σύμπλοκος· ἀντὶ δὲ μαζῶν,
ὦ πόποι, ἀπρήκτοις μῆλα φέρω παλάμαις.

---

pag. 211, 14 Ἀγαθίου Ap | σχολ A 15 ἀ γραῦσ Ap | ἡμετέροισ Ap^{m} | δια A^{ac} 16 ἀμβολίην (non ἀμβολίησ) A, litteram fin. manifestiorem reddidit C; ἀμφιβολίην Ap^{v} (ἀμβ.—ἄγριον om. Ap^{m})
1 ἦτορ C ἠτορ A^{ac} | οὔτ' ἐπι A οὔτ' ἐπὶ C Ap οὔτε τι Herw. οὐκέτι Sternb. 2 οὔτε P οὐδὲ Ap οὔτ' ἐπὶ sched. Thryll. | ζωροτέρῳ Ap^{m} ζωροτέρου Pauw | μείζωνι Ap^{m} 3 δ' αἰεὶ C δ' αἲ εἰ? A^{ar} | περιδέρκεται C 4 ἀθρήσει A ηι supra ει adposuit C, ἀθρήσῃ Ap | ζεμβομένην Ap^{m} 5—6 om. ap. L 5 ἃ A^{ac} ᾇ C ὦ Ap | τολμήεσα Ap^{m} | ῥαπίσμασιν P: prius σ ex ο cr. A | ἀμφι A^{ac} | πρόσωπον Ap πρόσωπα P (sed α ita scr., ut prope accedat ad comp. syllabae ον) 6 πλησει A in πλήσσει mut. C πλίσσει Ap^{m} a. c. | ἁπαλὴν A^{ac} Ap^{m} 7 τὸν om. Ap | ἄδωνιν A ᾶδωνιν C | Περσεφονείη Reiske 8 τακεδόνοσ Ap^{v} κηδόνος Ap^{m} 9—10 verba χάρις — κούρην om. Ap^{m} 9 ἀμφοτέροις Ap^{v} ἀμφοτέρην Ap^{m} | τῆσ δε A (Sternb.) τῆσ δὲ C τῆς γε Boiss. 10 ποθέειν Ap ‖ 11 παυὶ σιὶ A 12 πολυπτοίητον: hyphen A | ὑπὸκλέπτουσα C 14 τάχα P τινὰ Salm. (frustra; nec δ' ἄρα praeferendum) 15 μίξεν (᾽ AC) P; noli ci. πῆξεν | ἐρευθομέν⌊οι⌋σ C ἐρευθομένησ A^{ar} 16 φλογῖ P: ᾽A᾽ C | ἀντι δὲ (᾽ C) P 17 ⌊μῆλ⌋α A: φέρ pro μῆλ A^{ar} ‖

290. ΤΟΥ̃ ΑὐΤΟΥ̃. A

Εἰς τὸ αὐτό. A

Εἰ μὲν ἐμοί, χαρίεσσα, τεῶν τάδε σύμβολα μαξῶν
ὤπασας, ὀλβίζω τὴν χάριν ὡς μεγάλην·
εἰ δ' ἐπὶ τοῖς μίμνεις, ἀδικεῖς, ὅτι λάβρον ἀνῆψας
πυρσόν, ἀποσβέσσαι τοῦτον ἀναινομένη.
Τήλεφον ὁ τρώσας καὶ ἀκέσσατο· μὴ σύ γε κούρη
εἰς ἐμὲ δυσμενέων γίνεο πικροτέρη.

291. ᾽ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ̃ At

πέραν τῆς πόλεως διάγοντος | διὰ τὰ λύσιμα τῶν νόμων ὑπομνηστικὸν | πεμφθὲν πρὸς Παῦλον Σιλεντιάριον. At. Pl

Ἐνθάδε μὲν χλοάουσα τεθηλότι βῶλος ὁράμνῳ
φυλλάδος εὐκάρπου πᾶσαν ἔδειξε χάριν·
ἐνθάδε δὲ κλάζουσιν ὑπὸ σκιεραῖς κυπαρίσσοις
ὄρνιθες δροσερῶν μητέρες ὀρταλίχων,
καὶ λιγυρὸν βομβεῦσιν ἀκανθίδες· ἡ δ' ὀλολυγὼν
τρύζει, τρηχαλέαις ἐνδιάουσα βάτοις. M 71v

---

3 εἶπ[μ᾽ἐν]ον P: εἶπεν scripserat A^{ar} in εἶπον mut. C; μ̓ (= μὲν sc. εἰ μὲν) superscr. m. rec. (εἰπὸν Heinsius, εἴ ποτ' Jac.) | ἐμοὶ: ᾽ C A^{ar} | σύμολα P 4 post ὤπασασ signum interrog. posuit C 5 ἐπιτοῖσ A^{ac} ἐπὶ τ. C ἐπὶ σοῖς Bothe | ὁτι A^{ac} ὃν Reiske; f. ὅτε | ἀνῆψαι P, cr. Heinsius 6 πῦρσὸν P | ἀπὸσβέσσαι P: ᾽ C, ἀνασβέσσαι ap. L. 7 μη σύγε A^{ac} | κούρη∗ C κούρηι A^{ar} ‖ 9 sqq. ep. est ap. Pl. VII 76 9—11 nomen auctoris cum lemmate scr. A in textu 9 τοῦ αὐτοῦ (sc. Agathiae, post A. P. V 286) Pl (add. ep. V 241 Agathiae nom. sch.^{B}; inde venit in Pl^{w}, v. ad 187, 3) 10 πόὶ (᾽ C) P πόλεωσ Pl | διάγοντοσ: ᾽ C (etiam in seqq. lemmatis verbis accentus, quos plerosque A om., add. C) 11 ὑπὸμνηστικὸν C ex ὑπομν. | πεμφθὲν om. Pl | παυὶ A 12 ὁράμνωι A^{ar} C ὁράμνῳ Suid. s. v. ὁράμνους 13 εδειξε A^{ac} 14 ἐνθάδε καχλάζουσιν Salm. perperam, nec praestat κιχλίζουσιν; fort. ἐνθάδε δ' ὀκλάζουσιν (cfr. A. P. IX 209, 1) | ὑπὸ C ὑπο A^{ac} 15 μητέρων s. v. ὀρταλίχων Suid.$^{B-E}$ 16 ἡ δ' A^{ac} ἠδ' C Pl (ἦδ' Pl^{I}) | ὀλολῦγῶν C ὀλολυγὼν? A^{ac} (signum ∗ C, qui ζ∗ m^{e} adscripsit) 17 τρηχαλέαισ P idemque Pl^{M} Pl^{s} τρυχαλέαις Pl$^{I\cdot a\cdot b}$ | ἐνδιάουσα P Pl$^{M.I}$ ἐνδιάγουσα Pl$^{a\cdot s}$

ἀλλὰ τί μοι τῶν ἥδος, ἐπεὶ σέο μῦθον ἀκούειν
ἤθελον ἢ κιθάρης κρούσματα Δηλιάδος;
P 137 καί μοι δισσὸς ἔρως περικίδναται· εἰσοράαν γὰρ
καὶ σέ, μάκαρ, ποθέω καὶ γλυκερὴν δάμαλιν,
ἧς με περισμύχουσι μεληδόνες. ἀλλά με θεσμοὶ
εἴργουσιν ῥαδινῆς τηλόθι δορκαλίδος. M 72r

292. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ A. Pl

ἀν|τίγραφον ἐπὶ | τῇ αὐτῇ ὑπο|θέσει πρὸς τὸν | φίλον Ἀγαθίαν. AC

Θεσμὸν Ἔρως οὐκ οἶδε βιημάχος, οὐδέ τις ἄλλη
ἀνέρα νοσφίζει πρῆξις ἐρωμανίης.
εἰ δέ σε θεσμοπόλοιο μεληδόνος ἔργον ἐρύκει,
οὐκ ἄρα σοῖς στέρνοις λάβρος ἔνεστιν Ἔρως.
ποῖος Ἔρως, ὅτε βαιὸς ἁλὸς πόρος οἶδε μερίζειν
σὸν χρόα παρθενικῆς τηλόθεν ὑμετέρης;
νηχόμενος Λείανδρος ὅσον κράτος ἐστὶν ἐρώτων
δείκνυεν, ἐννυχίου κύματος οὐκ ἀλέγων·
σοὶ δέ, φίλος, παρέασι καὶ ὁλκάδες· ἀλλὰ θαμίζεις
μᾶλλον Ἀθηναίῃ, Κύπριν ἀπωσάμενος.
θεσμοὺς Παλλὰς ἔχει, Παφίη πόθον. εἰπέ, τίς ἀνὴρ
εἰν ἑνὶ θητεύσει Παλλάδι καὶ Παφίῃ; M 72r

---

